1. *In refuting polytheism, however, we must defend our argument against Judaism. It will be granted that Deity has a Logos; otherwise God would be without reason* (ἄλογος). *But this Logos corresponds to the nature of God, and as God's nature is infinitely higher than that of man, so must the Logos of God be proportionately higher. Man is mortal and his logos transitory. In God the Logos corresponds to His nature and is eternal and self-subsistent. At the same time the Logos is living and does not share life, but possesses it absolutely. This further involves the possession of will and the power to effect what He wills. The will of the Logos is directed to good ends, for goodness is an attribute of God. The Universe exhibits the wisdom, power, and goodness of the Logos. The Logos, moreover, is distinct from Him Whose Logos He is. Thus is our position defined against the errors alike of Hellenism and Judaism. The Logos is living and active, and yet is one in nature and attributes with the Father from Whom He is derived.*

12. ὁ τῆς εὐσ.] 'the doctrine of our religion.'

ib. οἶδε] Kr. renders 'solet,' but it may mean simply 'is able' to perceive.

διάκρισιν ὑποστάσεων ἐν τῇ ἑνότητι τῆς φύσεως βλέπειν, ὡς ἂν μὴ τῇ πρὸς τοὺς Ἕλληνας μάχῃ πρὸς τὸν Ἰουδαϊσμὸν ἡμῖν ὁ λόγος ὑπενεχθείη, πάλιν προσήκει διαστολῇ τινὶ τεχνικῇ καὶ τὴν περὶ τοῦτο πλάνην ἐπανορθώσασθαι. οὐδὲ γὰρ τοῖς ἔξω τοῦ καθ' ἡμᾶς δόγματος ἄλογον εἶναι τὸ θεῖον ὑπείληπται· τοῦτο δὲ παρ' ἐκείνων ὁμολογούμενον ἱκανῶς διαρθρώσει τὸν ἡμέτερον λόγον. ὁ γὰρ ὁμολογῶν μὴ ἄλογον εἶναι τὸν θεὸν πάντως λόγον ἔχειν τὸν μὴ ἄλογον συγκαταθήσεται. ἀλλὰ μὴν καὶ ὁ ἀνθρώπινος ὁμωνύμως λέγεται λόγος. οὐκοῦν εἰ λέγοι καθ' ὁμοιότητα

1. 3 υπενεχθησεται e || 7 διορθωσει d

1. *ὑποστάσεων*] For a full discussion of the history of this word see Bethune-Baker *Texts and Studies*, vol. vii, no. 1, p. 75. In its earlier sense it was synonymous with *οὐσία*, as in the anathema of the Nicene Creed (*ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας*). Both Basil and Gr. occasionally employ it in this earlier sense. Cp. *infra* c. 4 *sub fin.* *λόγον ἐν οὐσίᾳ καὶ πνεῦμα ἐν ὑποστάσει.* The later formula however to which currency was given by the teaching of the Cappadocians was *μία οὐσία ἐν τρισὶν ὑποστάσεσιν.* For the distinction of *ὑπόστασις* and *οὐσία* according to this view cp. Basil *Ep.* ccxxxvi 6 *οὐσία δὲ καὶ ὑπόστασις ταύτην ἔχει τὴν διαφορὰν ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ καθ' ἕκαστον*: and still more precisely in *Ep.* xxxviii 3 *τοῦτο οὖν ἐστὶν ἡ ὑπόστασις, οὐχ ἡ ἀόριστος τῆς οὐσίας ἔννοια, μηδεμίαν ἐκ τῆς κοινότητος τοῦ σημαινομένου στάσιν εὐρίσκουσα, ἀλλ' ἡ τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστῶσα καὶ περιγράφουσα.* It thus denotes 'a particular centre of conscious being.' As Dr Moberly (*Atonement and Personality*, p. 158 sq.) has pointed out, the word is free from many of the associations which have gathered round the word 'person' in its later Western sense.

ib. *φύσεως*] It is not necessary to assume that *φύσις* is here used loosely in the sense of *οὐσία*. The latter word denotes 'being,' while *φύσις* denotes the 'quality' of such 'being,' and has reference to the attributes. But in many cases where the writer might have used *οὐσία*, his thought is sufficiently expressed by *φύσις*.

3. *ὑπενεχθείη*] '*our argument may not lapse into Judaism*,' i.e. a barren monotheism, admitting of no distinction in the Divine Being.

ib. *διαστολῇ τ. τ.*] '*a skilful distinction*,'-such as is involved in the *διάκρισις ὑπ.* referred to above.

5. *τοῖς ἔξω*] The most conspicuous example is Philo. But the belief in a Word as a mediating influence was not confined to Alexandria. In Palestine it affected the language of the Targums.

ib. *ἄλογον*] implies the absence of 'reason' as well as 'word.'

7. *διαρθρώσει*] '*will make our argument sufficiently clear.*'

10. *οὐκοῦν*] '*If then he were to say that he formed his idea of the Word of God exactly on the analogy of our human counterparts, he will thus be led on to a higher notion.*' With this illustration from the human *λόγος* cp. Tert. *adv. Prax.* c. 5.

τῶν παρ' ἡμῖν καὶ τὸν τοῦ θεοῦ λόγον ὑπονοεῖν, οὕτω μεταχθήσεται πρὸς τὴν ὑψηλοτέραν ὑπόληψιν. ἀνάγκη γὰρ πᾶσα κατάλληλον εἶναι πιστεύειν τῇ φύσει τὸν λόγον, ὡς καὶ τὰ ἄλλα πάντα. καὶ γὰρ δύναμίς τις καὶ ζωὴ καὶ σοφία περὶ τὸ ἀνθρώπινον βλέπεται· ἀλλ' οὐκ ἄν τις ἐκ τῆς ὁμωνυμίας τοιαύτην καὶ ἐπὶ τοῦ θεοῦ τὴν ζωὴν ἢ τὴν δύναμιν ἢ τὴν σοφίαν ὑπονοήσειεν, ἀλλὰ πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον συνταπεινοῦνται καὶ αἱ τῶν τοιούτων ὀνομάτων ἐμφάσεις. ἐπειδὴ γὰρ φθαρτὴ καὶ ἀσθενὴς ἡμῶν ἡ φύσις, διὰ τοῦτο ὠκύμορος ἡ ζωή, ἀνυπόστατος ἡ δύναμις, ἀπαγὴς ὁ λόγος. ἐπὶ δὲ τῆς ὑπερκειμένης φύσεως τῷ μεγαλείῳ τοῦ θεωρουμένου πᾶν τὸ περὶ αὐτῆς λεγόμενον συνεπαίρεται. οὐκοῦν κἂν λόγος θεοῦ λέγηται, οὐκ ἐν τῇ ὁρμῇ τοῦ φθεγγομένου καὶ τὴν ὑπόστασιν ἔχειν νομισθήσεται, καθ' ὁμοιότητα τοῦ ἡμετέρου μεταχωρῶν εἰς ἀνύπαρκτον· ἀλλ' ὥσπερ ἡ ἡμετέρα φύσις ἐπίκηρος οὖσα καὶ ἐπίκηρον τὸν λόγον ἔχει, οὕτως ἡ ἄφθαρτος καὶ ἀεὶ ἑστῶσα φύσις ἀίδιον ἔχει καὶ ὑφεστῶτα τὸν λόγον. εἰ δὴ τοῦτο κατὰ τὸ ἀκόλουθον ὁμολογηθείη

5 τα ανθρωπινα d || 6 τοιαυτην]+τινα d || 13 αυτην vulg || 14 om και fh euth || 17 επικηρος] ανυπαρκτος f

3. κατάλλ.] '*corresponding to.*'

8. συνταπ.] Such words as 'power,' 'life,' 'wisdom' have a lower significance in the case of men than in that of God.

10. ὠκύμορος] '*fleeting.*'

ib. ἀνυπόστατος] '*unsubstantial,*' i.e. having no separate existence of its own. Hence 'shadowy,' 'unreal.'

11. ἀπαγής] lit. 'not fixed,' '*unstable.*' Similarly Ath. *c. Ar.* ii 34, 35. Cp. Iren. *c. Haer.* ii 13. 8.

ib. ὑπερκειμένης] '*transcendent.*' See *antea*, p. 4, l. 3 δύναμιν τὴν... τοῦ παντὸς ὑπερκειμένην.

12. τῷ μεγαλείῳ] '*along with the greatness of the object of our contemplation.*' For μεγαλεῖον = 'magnitude' see c. 2, p. 14.

14. ὑπόστασιν] '*it will not be thought to have its subsistence in the expression of him who speaks.*' Ὑπόστασις is here 'that in virtue of which a thing is what it is,' the essence or being of a thing. A human word is merely the expression of the speaker's mind. It has no ὑπόστασις apart from such expression, and in the utterance it passes out of existence (μεταχωρῶν εἰς ἀνύπαρκτον). The Divine Logos is ἀίδιος and ὑφεστώς.

16. ἀλλ' ὥσπερ] The argument of this chapter is partly reproduced in Ps.-Cyril Al. *de Trin.* c. 5, and in Io. Damasc. *de Fid. Orth.* i 6.

τὸ ὑφεστάναι τὸν τοῦ θεοῦ λόγον ἀιδίως, ἀνάγκη πᾶσα ἐν ζωῇ τοῦ λόγου τὴν ὑπόστασιν εἶναι ὁμολογεῖν. οὐ γὰρ καθ' ὁμοιότητα τῶν λίθων ἀψύχως ὑφεστάναι τὸν λόγον εὐαγές ἐστιν οἴεσθαι. ἀλλ' εἰ ὑφέστηκε νοερόν τι χρῆμα καὶ ἀσώματον ὤν, ζῇ πάντως· εἰ δὲ τοῦ ζῆν κεχώρισται, οὐδὲ ἐν ὑποστάσει πάντως ἐστίν. ἀλλὰ μὴν ἀσεβὲς ἀπεδείχθη τὸν τοῦ θεοῦ λόγον ἀνυπόστατον εἶναι. οὐκοῦν συναπεδείχθη κατὰ τὸ ἀκόλουθον τὸ ἐν ζωῇ τοῦτον θεωρεῖσθαι τὸν λόγον. ἁπλῆς δὲ τῆς τοῦ λόγου φύσεως κατὰ τὸ εἰκὸς εἶναι πεπιστευμένης καὶ οὐδεμίαν διπλόην καὶ σύνθεσιν ἐν ἑαυτῇ δεικνυούσης, οὐκέτ' ἄν τις κατὰ μετουσίαν ζωῆς τὸν λόγον ἐν ζωῇ θεωροίη· οὐ γὰρ ἂν ἐκτὸς εἴη συνθέσεως ἡ τοιαύτη ὑπόληψις, τὸ ἕτερον ἐν ἑτέρῳ λέγειν εἶναι· ἀλλ' ἀνάγκη πᾶσα, τῆς ἁπλότητος ὁμολογουμένης, αὐτοζωὴν εἶναι τὸν λόγον οἴεσθαι, οὐ ζωῆς μετουσίαν. εἰ οὖν ζῇ ὁ λόγος ὁ ζωὴ ὤν, καὶ προαιρετικὴν πάντως δύναμιν

5 ων] ον l || 8 ζωη] τη ζωη l || 12 εν ζωη θ. τ. λογον l vulg τη ζωη f || 15 om ειναι f || 16 ζη] ζωη e || o ζωη] ως ζ. dehnp euth || προαιρετικην] + ητοι θελητικην euth 1456 || δυναμιν εχει παντως l vulg

1. ἐν ζωῇ...εἶναι] '*that the subsistence of the Word is living.*' For the phrase εἶναι ἐν see c. 24 δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι. Gr. is illustrating the doctrine of distinctions in the Divine Being by an analysis of human consciousness. But it might be urged that the human analogy does not suggest the idea of distinct hypostases. This further step Gr. attempts to prove by showing that all relationships within the Divine Being must be living, and in order to be living in the full sense they must be personal. Augustine approached the same question from the moral consciousness and the idea of Divine Love. See *de Trin.* vi 5, viii 10, ix 2.

6. οὐδὲ ἐν ὑποστάσει] '*it does not possess any subsistence at all,*' i.e. it is ἀνυπόστατος like the human λόγος, which Gr. has declared to be ἐπίκηρος.

10. διπλόην] '*doubleness.*' Διπλόη is used of that which has a double character, e.g. the fold of a garment, or the overlapping of the bones in the skull. Here it is used of the combination of different elements.

11. κατὰ μετουσίαν] '*consider the Word as living by a participation in life.*' This, acc. to Gr., would involve διπλόη and σύνθεσις, whereas he maintains that the Word is αὐτοζωή. The Word does not partake of life, as we do. Life is absolutely His. Cp. *infra* αὐτοζωὴν...οὐ ζωῆς μετουσίαν.

15. εἰ οὖν] As a result of the possession of life we must postulate that the Word possesses will and the power to carry out what He wills.

ἔχει· οὐδὲν γὰρ ἀπροαίρετον τῶν ζώντων ἐστί. τὴν δὲ προαίρεσιν ταύτην καὶ δυνατὴν εἶναι κατὰ τὸ ἀκόλουθον εὐσεβές ἐστι λογίζεσθαι. εἰ γὰρ μή τις τὸ δυνατὸν ὁμολογοίη, τὸ ἀδύνατον πάντως κατασκευάσει. ἀλλὰ μὴν πόρρω τῆς περὶ τὸ θεῖον ὑπολήψεώς ἐστι τὸ ἀδύνατον. οὐδὲν γὰρ τῶν ἀπεμφαινόντων περὶ τὴν θείαν θεωρεῖται φύσιν, ἀνάγκη δὲ πᾶσα τοσαύτην εἶναι ὁμολογεῖν τοῦ λόγου τὴν δύναμιν, ὅση ἐστὶ καὶ ἡ πρόθεσις, ἵνα μή τις μίξις τῶν ἐναντίων καὶ συνδρομὴ περὶ τὸ ἁπλοῦν θεωροῖτο, ἀδυναμίας τε καὶ δυνάμεως ἐν τῇ αὐτῇ προθέσει θεωρουμένων, εἴπερ τὸ μέν τι δύναιτο, πρὸς δέ τι ἀδυνάτως ἔχοι· πάντα δὲ δυναμένην τὴν τοῦ λόγου προαίρεσιν πρὸς οὐδὲν τῶν κακῶν τὴν ῥοπὴν ἔχειν· ἀλλότρια γὰρ τῆς θείας φύσεως ἡ πρὸς κακίαν ὁρμή· ἀλλὰ πᾶν ὅ τι πέρ ἐστιν ἀγαθόν, τοῦτο καὶ βούλεσθαι, βουλομένην δὲ πάντως καὶ δύνασθαι, δυναμένην δὲ μὴ ἀνενέργητον εἶναι, ἀλλὰ πᾶσαν ἀγαθοῦ πρόθεσιν εἰς ἐνέργειαν ἄγειν. ἀγαθὸν δὲ ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα. ἆρα τοῦ

1 ζωντων] οντων d ‖ 5 εστιν υποληψεως e ‖ 6 των απεμφ.] απεμφαινον των l vulg ‖ 7 om δε fl vulg ‖ 11 τι] τοι vulg ‖ δυναται n euth ‖ 12 εχει dnp euth om εχοι vulg ‖ 15 ο τι περ] οπερ e ‖ 17 προθεσιν] προαιρεσιν vulg

4. κατασκευάσει] '*he will prove*' or '*establish*.' Cp. κατασκευαῖς *prol.* p. 2.

6. τῶν ἀπεμφαινόντων] Ἀπεμφαίνειν is 'to present a different appearance,' 'to be incongruous,' a common word in Gr. Cp. c. 10 ὅσον εὐπρεπές ἐστι...δεξάμενος, τὸ ἀπεμφαῖνον ἀποποιείσθω. Cp. also c. 15 ὡς ἀναρμοστά τε καὶ ἀπεμφαίνοντα περὶ τῆς θείας φύσεως δογματιζόντων.

8. πρόθεσις] used as almost equivalent to προαίρεσις.

12. πάντα δέ] A further step in the argument, postulating goodness as a necessary quality of the activity of the Word. Ῥοπή='inclination,' ὁρμή='impulse.'

17. ἀνενέργητον] '*inoperative*,' '*inactive*.' A common word in Gr. Cp. c. 4 ἀνενέργητά τε καὶ ἀνυπόστατα τὰ παρ' ἡμῖν ῥήματα.

18. ἀγαθόν] The outcome of the activity of the Word is to be seen in the Universe, which is the expression of His character.

19. σοφῶς] For this predicative force of adverbs and adverbial clauses with θεωρεῖν cp. c. 2, p. 14 μετὰ πνεύματος θεωρουμένου, and esp. c. 16 τὸ δ' ὅσον ἐν τῇ φύσει... διεξοδικῶς θεωρεῖται.

λόγου ἔργα τὰ πάντα τοῦ ζῶντος μὲν καὶ ὑφεστῶτος, ὅτι θεοῦ λόγος ἐστί, προαιρουμένου δέ, ὅτι ζῇ· δυναμένου δὲ πᾶν ὅ τι περ ἂν ἕληται, αἱρουμένου δὲ τὸ ἀγαθόν τε καὶ σοφὸν πάντως, καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. ἐπεὶ οὖν ἀγαθόν τι ὁ κόσμος ὁμολογεῖται, ἀπεδείχθη δὲ διὰ τῶν εἰρημένων τοῦ λόγου ἔργον τὸν κόσμον εἶναι, τοῦ τὸ ἀγαθὸν καὶ αἱρουμένου καὶ δυναμένου, ὁ δὲ λόγος οὗτος ἕτερός ἐστι παρὰ τὸν οὗ ἐστὶ λόγος· τρόπον γάρ τινα τῶν πρός τι λεγομένων καὶ τοῦτό ἐστιν, ἐπειδὴ χρὴ πάντως τῷ λόγῳ καὶ τὸν πατέρα τοῦ λόγου συνυπακούεσθαι· οὐ γὰρ ἂν εἴη λόγος, μή τινος ὢν λόγος· εἰ οὖν διακρίνει τῷ σχετικῷ τῆς σημασίας ἡ τῶν ἀκουόντων διάνοια αὐτόν τε τὸν λόγον καὶ τὸν ὅθεν ἐστίν, οὐκέτ' ἂν ἡμῖν κινδυνεύοι τὸ μυστήριον ταῖς Ἑλληνικαῖς μαχόμενον ὑπολήψεσι τοῖς τὰ τῶν Ἰουδαίων πρεσβεύουσι συνενεχθῆναι· ἀλλ' ἐπ' ἴσης ἑκατέρων τὴν ἀτοπίαν ἐκφεύξεται, τόν τε ζῶντα τοῦ θεοῦ λόγον καὶ ἐνεργὸν καὶ

3 παντα l vulg || οπερ eh || 5 ωμολογηται hn euth ωμολογειται e ομολογειται o κοσμος f || 6 το λογου εργον dehnp || 8 ο δε λ.] αρα ο λ. euth || 9 τουτο] ουτος euth || 12 διακρινη vulg || 14 κινδυνευει defln vulg || 15 τοις τε vulg || om των hl vulg

4. κρείττονος σημασίας] '*and everything else that indicates excellence.*'

9. τῶν πρός τι] 'a relative term.' We cannot understand the term 'Word' without reference to some other Being.

11. συνυπακούεσθαι] '*understood*' or '*implied along with the Word.*'

12. τῷ σχετικῷ τῆς σημ.] '*owing to the relative character of the term.*' Σχέσις denotes 'relation.'

15. τὰ τῶν Ἰ. πρεσβεύουσι] '*those who pay honour to the beliefs of the Jews.*' Πρεσβεύειν here = σέβειν or τιμᾶν. Cp. Plato *Symp.* 186 B ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα καὶ πρεσβεύωμεν τὴν τέχνην. Cp. Aesch. *Cho.* 488.

16. συνενεχθῆναι] '*agree with.*' The Christian doctrine of God is unique, but it presents points of contact with Hellenism and Judaism. Cp. the summary of Gr. in c. 3.

ib. ἐκφ.] i.e. the personal subject implied in ταῖς Ἑ. μαχ. ὑπ.

17. τόν τε ζῶντα] The article belongs also to ἐνεργόν and ποιητικόν. '*Confessing the living and active and creative Word of God, a thing which the Jew does not admit.*' He is referring to Heb. iv 12, which was understood by many of the Fathers to refer to the Personal Word. The Logos doctrine of Philo is the nearest approach to the belief of which Gr. is speaking. But in Philo the Logos is rather an abstraction than a personal power, and could not be said to be ζῶν.

ποιητικὸν ὁμολογῶν, ὅπερ ὁ Ἰουδαῖος οὐ δέχεται, καὶ τὸ μὴ διαφέρειν κατὰ τὴν φύσιν αὐτόν τε τὸν λόγον καὶ τὸν ὅθεν ἐστίν. ὥσπερ γὰρ ἐφ' ἡμῶν ἐκ τοῦ νοῦ φαμὲν εἶναι τὸν λόγον, οὔτε δι' ὅλου τὸν αὐτὸν ὄντα τῷ νῷ, οὔτε παντάπασιν ἕτερον· τῷ μὲν γὰρ ἐξ ἐκείνου εἶναι ἄλλο τι καὶ οὐκ ἐκεῖνό ἐστι· τῷ δὲ αὐτὸν τὸν νοῦν εἰς τὸ ἐμφανὲς ἄγειν οὐκέτ' ἂν ἕτερόν τι παρ' ἐκεῖνον ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὢν ἕτερον τῷ ὑποκειμένῳ ἐστίν· οὕτως καὶ ὁ τοῦ θεοῦ λόγος τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν διῄρηται πρὸς ἐκεῖνον, παρ' οὗ τὴν ὑπόστασιν ἔχει· τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ τῷ διὰ τῶν αὐτῶν γνωρισμάτων εὑρισκομένῳ· εἴτε γὰρ ἀγαθότης, εἴτε δύναμις, εἴτε σοφία, εἴτε τὸ ἀιδίως εἶναι, εἴτε τὸ κακίας καὶ θανάτου

1 om o eh || και το μη] incipit g || 2 διαφθειρειν vulg || 3 εκ τ. ν. εφ ημων l vulg || 4 οντα] ειναι dl vulg || 5–6 το μεν...το δε efn euth 45 || 7 om τι l vulg || εκεινο l vulg || 8 ων] ον l vulg || 13 αγαθοτητα—δυναμιν—σοφιαν euth || 14 κακιας κ. φ. αν. και θανατου g

1. καὶ τὸ μὴ διαφ.] Though distinct from the Father, the Word possesses the same nature. This is illustrated by the relation of the human word to the mind of him who utters it.

6. τῷ δέ] '*but owing to the fact that it manifests the mind itself.*'

8. τῷ ὑποκειμένῳ] With Gr. τὸ ὑποκείμενον practically always is used in a sense approaching to οὐσία. See *c. Eunom.* i, p. 520 (Migne) ἐνὶ τῷ ὑποκειμένῳ τρεῖς ἐφαρμόζοντες προσηγορίας. Cp. c. 3 of this treatise διακέκριται τῇ ὑποστάσει, καὶ οὐ διώρισται τῷ ὑποκειμένῳ (note). On account of Gr.'s strict use of terms, Rupp (*Gregor von Nyssa*, p. 168) thinks that the present passage contains a gloss, but there is no variation in the MSS, and the assumption is quite unnecessary, as τῷ ὑποκειμένῳ may have its common Aristotelic sense of 'subject.' The word is one 'subject,' and the mind another. Cp. for this sense of τὸ ὑποκ. *prol.* p. 5 εἰ γὰρ τὸ τέλειον ...δοίη περὶ τὸ ὑποκείμενον ὁμολογεῖσθαι. For a similar use of the word cp. Basil *Ep.* ix 2, and see Bethune-Baker *Texts and Studies*, vol. vii, no. 1, p. 82.

13. εὑρισκομένῳ] '*who is known by*' or '*who is discerned by the possession of*' the same distinctive characteristics.

ib. ἀγαθότης] The construction is broken. The text of Euthymius (which reads ἀγαθότητα...δύναμιν... σοφίαν against the unanimous verdict of the MSS of the *Or. Cat.*) represents an attempt to correct the grammar of the passage. Prob. Gr. intended to make the words the subject to a verb, but in completing the sentence he has given it a different turn. For a similar break of construction cp. c. 9.

καὶ φθορᾶς ἀνεπίδεκτον, εἴτε τὸ ἐν παντὶ τέλειον, εἴτε τι τοιοῦτον ὅλως σημεῖόν τις ποιοῖτο τῆς τοῦ πατρὸς καταλήψεως, διὰ τῶν αὐτῶν εὑρήσει σημείων καὶ τὸν ἐξ ἐκείνου ὑφεστῶτα λόγον.

2. Ὥσπερ δὲ τὸν λόγον ἐκ τῶν καθ' ἡμᾶς ἀναγωγικῶς ἐπὶ τῆς ὑπερκειμένης ἔγνωμεν φύσεως, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῇ περὶ τοῦ πνεύματος ἐννοίᾳ προσαχθησόμεθα, σκιάς τινας καὶ μιμήματα τῆς ἀφράστου δυνάμεως ἐν τῇ καθ' ἡμᾶς θεωροῦντες φύσει. ἀλλ' ἐφ' ἡμῶν μὲν τὸ πνεῦμα ἡ τοῦ ἀέρος ἐστὶν ὁλκή, ἀλλοτρίου πράγματος πρὸς τὴν τοῦ σώματος σύστασιν ἀναγκαίως εἰσελκομένου τε καὶ προχεομένου, ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως τοῦ λόγου

2 om τις l vulg || 3 ευρησεις vulg || 5 αναλογικως fl vulg || 6 επι] υπερ h

1. εἴτε τι τοιοῦτον] '*whatsoever of this kind is made an indication of the way of apprehending the Father.*'

3. διὰ τῶν αὐτῶν] The unity of nature gives to the Word the same characteristic qualities as the Father possesses.

ib. ἐξ ἐκείνου ὑφεστῶτα] '*that subsists from Him.*'

2. *Human nature supplies also an analogy to the existence of the Spirit in the Godhead. In man breath* (πνεῦμα) *accompanies the utterance of the human word* (λόγος). *So in God the Spirit cannot be separated from the Word. But while the human breath is something foreign to man's nature, the Spirit of God is one with God in being, and at the same time, like the Word, is self-subsistent, possessing will, activity, and power.*

5. ἀναγωγικῶς] The alternative reading ἀναλογικῶς is a correction of the text. Ἀναγωγή or ἀναγωγὴ μυστική is a phrase which constantly occurs in Origen. See *Philocalia* (ed. Rob.), i 22, xxvi 4, 8. It is used by him to denote the process by which the reader of Scripture 'ascends' from the literal and moral meaning of Scripture to its spiritual significance. Here the phrase is used of 'ascending' from the experience of human nature (τὰ καθ' ἡμᾶς) to the nature of God. '*Just as, by an ascent from the facts of our own nature, we recognized in the transcendent nature the existence of the Word.*'

9. ἀλλ' ἐφ' ἡμῶν] This passage is adapted in the form of a paraphrase by Ps.-Cyr. Al. *de Trin.* c. 6 and Io. Damasc. *F. O.* i 7. In the case of our bodies the breath which we inhale and breathe out is something foreign to our nature. The Divine Πνεῦμα, however, is one with God.

10. ὁλκή] '*drawing.*'

ib. ἀλλοτρίου πράγματος] i.e. τοῦ ἀέρος, which is foreign to the nature of the body. Πρός is governed by ἀλλοτρίου. Cp. c. 5 ἀλλοτριωθεῖσα τῷ ἀνομοίῳ πρὸς τὸ ἀρχέτυπον (note).

12. ὅπερ] i.e. τὸ πνεῦμα, which becomes φωνή, 'a voice' or 'utterance,' revealing the 'force' or 'meaning' of the word.

φωνὴ γίνεται, τὴν τοῦ λόγου δύναμιν ἐν ἑαυτῇ φανεροῦσα. ἐπὶ δὲ τῆς θείας φύσεως τὸ μὲν εἶναι πνεῦμα θεοῦ εὐσεβὲς ἐνομίσθη, καθὼς ἐδόθη καὶ λόγον εἶναι θεοῦ διὰ τὸ μὴ δεῖν ἐλλιπέστερον τοῦ ἡμετέρου λόγου τὸν τοῦ θεοῦ εἶναι λόγον, εἴπερ τούτου μετὰ πνεύματος θεωρουμένου ἐκεῖνος δίχα πνεύματος εἶναι πιστεύοιτο. οὐ μὴν ἀλλότριόν τι καθ' ὁμοιότητα τοῦ ἡμετέρου πνεύματος ἔξωθεν ἐπιρρεῖν τῷ θεῷ καὶ ἐν αὐτῷ γίνεσθαι τὸ πνεῦμα θεοπρεπές ἐστιν οἴεσθαι· ἀλλ' ὡς θεοῦ λόγον ἀκούσαντες οὐκ ἀνυπόστατόν τι πρᾶγμα τὸν λόγον ᾠήθημεν, οὐδὲ ἐκ μαθήσεως ἐγγινόμενον, οὔτε διὰ φωνῆς προφαινόμενον, οὔτε μετὰ τὸ προενεχθῆναι διαλυόμενον, οὐδὲ ἄλλο τι πάσχοντα τοιοῦτον, οἷα περὶ τὸν ἡμέτερον λόγον θεωρεῖται πάθη, ἀλλ' οὐσιωδῶς ὑφεστῶτα, προαιρετικόν τε καὶ ἐνεργὸν καὶ παντοδύναμον· οὕτως καὶ πνεῦμα μεμαθηκότες θεοῦ, τὸ συμπαρομαρτοῦν τῷ λόγῳ καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἄσθματος ἐννοοῦμεν· ἢ γὰρ ἂν καθαιροῖτο πρὸς ταπεινότητα τὸ μεγαλεῖον τῆς θείας δυνάμεως, εἰ

3 λογος vulg ‖ μη δειν] μηδεν f ‖ 5 του πν. l vulg ‖ 6 om ειναι e ‖ om τι vulg ‖ 7 επεισρειν fl vulg ‖ 8 om το euth ‖ 11 ουδε...ουδε fl vulg ‖ 11 προφερομενον fg[1]l euth 245 ‖ 15 το πν. f Ps-Cyr Al

5. εἴπερ τούτου] τούτου refers to the human word, the expression of which is always seen to be accompanied with breath (μετὰ πνεύματος θεωρουμένου). The Divine Word (ἐκεῖνος), which certainly does not fall short of its human counterpart, must similarly be accompanied by πνεῦμα.

6. ἀλλότριόν τι] We are not to suppose that in the case of the Divine πνεῦμα something foreign has an influx from without (ἔξωθεν ἐπιρρεῖν) into God, and that this becomes in Him the Spirit.

14. οὐσιωδῶς ὑφεστῶτα] The Divine Word has no mere transitory existence. It does not come to exist in the Godhead as the result of instruction. It is not a mere utterance of the voice, passing away after it has been uttered. It 'exists after the manner of real being' (οὐσιωδῶς ὑφεστῶτα). Cp. c. 4 οὐσιωδῶς ὑφεστώσας δυνάμεις. In both places the phrase οὐσ. ὑφ. denotes that the existence is real and not merely relative or contingent.

15. μεμαθηκότες] 'having learnt that there is a Breath or Spirit of God.' Τὸ συμπαρομαρτοῦν is an explanatory clause, '*which accompanies*' &c.

17. πνοὴν ἄσθ.] '*we do not conceive of it as an emission of breath.*' The sentence is resumed by ἀλλά below, the clause ἢ γὰρ...ὑπονοοῖτο being parenthetical.

18. ταπεινότητα] Cf. *antea* c. 1 πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον συνταπεινοῦνται.

ib. μεγαλεῖον] Cp. c. 1, p. 8.

καθ' ὁμοιότητα τοῦ ἡμετέρου καὶ τὸ ἐν αὐτῷ πνεῦμα ὑπονοοῖτο· ἀλλὰ δύναμιν οὐσιώδη αὐτὴν ἐφ' ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, οὔτε χωρισθῆναι τοῦ θεοῦ, ἐν ᾧ ἔστιν, ἢ τοῦ λόγου τοῦ θεοῦ, ᾧ παρομαρτεῖ, δυναμένην· οὔτε πρὸς τὸ ἀνύπαρκτον ἀναχεομένην, ἀλλὰ καθ' ὁμοιότητα τοῦ θεοῦ λόγου καθ' ὑπόστασιν οὖσαν, προαιρετικήν, αὐτοκίνητον, ἐνεργόν, πάντοτε τὸ ἀγαθὸν αἱρουμένην καὶ πρὸς πᾶσαν πρόθεσιν σύνδρομον ἔχουσαν τῇ βουλήσει τὴν δύναμιν.

3. Ὥστε τὸν ἀκριβῶς τὰ βάθη τοῦ μυστηρίου διασκοπούμενον ἐν μὲν τῇ ψυχῇ κατὰ τὸ ἀπόρρητον μετρίαν τινὰ κατανόησιν τῆς κατὰ τὴν θεογνωσίαν διδασκαλίας λαμβάνειν, μὴ μέντοι δύνασθαι λόγῳ διασαφεῖν τὴν ἀνέκφραστον ταύτην τοῦ μυστηρίου βαθύτητα· πῶς τὸ αὐτὸ καὶ ἀριθμητόν ἐστι καὶ διαφεύγει τὴν ἐξαρίθμησιν,

1 om το d **3.** 13 λαβειν fl vulg ‖ διασαφησαι fg[1]l vulg

2. δύναμιν οὐσιώδη] '*as a power really in being, to be regarded as existing in its own right in a subsistence of its own.*' For ὑπόστασις in this sense cp. c. 1 *init.* διάκρισιν ὑποστάσεων.

5. ἀναχεομένην] '*dissolving into non-existence.*' Cp. Greg. Naz. *Or.* xxviii 13 λόγον ... χεόμενον; ὀκνῶ γὰρ εἰπεῖν λυόμενον. Ἀνύπ. Cp. c. 1, p. 8 μεταχωρῶν εἰς ἀνύπαρκτον.

6. καθ' ὑπόστασιν] 'after the manner of an individual subsistence,' almost = 'as a person.'

3. *This doctrine of God is full of mystery. Yet it is the mean between the opposing doctrines of Judaism and Hellenism. With Judaism it preserves the unity of the Divine nature. With Hellenism it teaches the distinction of Persons. At the same time it is a safeguard against the errors of both.*

11. ἐν μὲν τ. ψ.] The corresponding clause is μὴ μέντοι. It is possible to have an inner, secret (κατὰ τὸ ἀπόρρητον) apprehension of the nature of Deity in the mind (ψυχή), without being able to express it in words.

ib. ψυχῇ] used here as comm. in Plato for the organ of the νοῦς. Cp. Plat. *Tim.* 30 B νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ.

ib. μετρίαν τινά] 'a moderate degree of apprehension.' Gr. is conscious that the doctrine of the Trinity is a mystery. He does not claim that his argument is in any sense a 'proof' of it. His analysis of man's nature is only an illustration.

15. ἀριθμητόν] 'admits of being numbered.' Cp. Just. Mart. *Dial.* 128, where the Son is spoken of as ἀριθμῷ ἑτερόν τι, and *ibid.* 52, where he says that the God Who appeared to Moses ἕτερός ἐστι τοῦ τὰ πάντα ποιήσαντος θεοῦ, ἀριθμῷ λέγω ἀλλ' οὐ γνώμῃ. Such expressions are intended to mark the individual existence of the Persons in the Godhead.

καὶ διῃρημένως ὁρᾶται καὶ ἐν μονάδι καταλαμβάνεται, καὶ διακέκριται τῇ ὑποστάσει καὶ οὐ διώρισται τῷ ὑποκειμένῳ. ἄλλο γάρ τι τῇ ὑποστάσει τὸ πνεῦμα, καὶ ἕτερον ὁ λόγος, καὶ ἄλλο πάλιν ἐκεῖνο, οὗ καὶ ὁ λόγος ἐστὶ καὶ τὸ πνεῦμα· ἀλλ' ἐπειδὰν τὸ διακεκριμένον ἐν τούτοις κατανοήσῃς, πάλιν ἡ τῆς φύσεως ἑνότης τὸν διαμερισμὸν οὐ προσίεται, ὡς μήτε τὸ τῆς μοναρχίας σχίζεσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον, μήτε τῷ Ἰουδαικῷ δόγματι συμβαίνειν τὸν λόγον, ἀλλὰ διὰ μέσου τῶν δύο ὑπολήψεων χωρεῖν τὴν ἀλήθειαν,

2 διωρ.] μεμερισται fg[1]l vulg || τω υποκειμενω] τη φυσει euth 16 τη ουσια euth 24 || 3–4 αλλο γαρ...ετερον ο λογος] desunt in l* vulg || 7 ως] ωστε l vulg || 10 μεσον vulg

1. διῃρημένως] '*is perceived in a way that involves division.*'

2. διακέκριται] '*it is distinct as regards person, and not divided as regards subject-matter.*' Cp. Greg. Naz. *Or.* xxxi 14 (Mason, p. 163) ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης.

ib. τῷ ὑποκειμένῳ] Τὸ ὑποκ. is used in Aristotle to denote 'subject' or 'subject-matter.' For instances of such use in the *Or. Cat.* cp. *prol.*, c. 1 *sub fin.*, and c. 5. The Stoic writers used the word to denote the 'substratum' of things, the real existence lying behind that which was perceived by the senses. Cp. Sextus *A. M.* 7, 346 sq. αἰσθήσεσι μὲν οὖν μόναις λαβεῖν τἀληθὲς οὐ δύναται...συνέσεώς τε δεῖ καὶ μνήμης πρὸς ἀντίληψιν τῶν ὑποκειμένων, οἷον ἀνθρώπου, φυτοῦ, τῶν ἑοικότων. Thus it comes to be a synonym for οὐσία. The glosses τῇ οὐσίᾳ and τῇ φύσει found in some MSS of Euthymius, where this passage is quoted, are attempts to interpret τὸ ὑποκείμενον.

7. οὐ προσίεται] '*does not admit of division,*' in the sense of the polytheists, who are here in view, although the Arian opinion led to the same result.

ib. τὸ τῆς μον.] '*the might of the Divine sovereignty is not split up by being divided into different kinds of Godhead.*' Gr. has to be on his guard against the charge of tritheism, which was actually brought against his teaching. His two works, *Quod non sint tres Dii* and the *de Communibus Notionibus*, are intended to guard against misconceptions of the Tripersonality of the Godhead. On the μοναρχία see Ath. *c. Ar.* iv 1 ὥστε δύο μὲν εἶναι Πατέρα καὶ Υἱόν, μονάδα δὲ θεότητος ἀδιαίρετον καὶ ἄσχιστον. λεχθείη δ' ἂν καὶ οὕτω μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐστίν. Cp. Greg. Naz. *Or.* xxix 2, where the μοναρχία is defined as οὐχ ἣν ἐν περιγράφει πρόσωπον... ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια, καὶ ταὐτότης κινήσεως, καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις.

9. συμβαίνειν] '*agree with.*' For this use of the word see c. 17 τὴν λύσιν τοῖς προλαβοῦσι συμβαίνουσαν. Cp. c. 27.

10. διὰ μέσου] Acc. to Gr. the Christian doctrine of God mediates between opposite errors. Its strength

ἑκατέραν τε τῶν αἱρέσεων καθαιροῦσαν καὶ ἀφ' ἑκατέρας παραδεχομένην τὸ χρήσιμον. τοῦ μὲν γὰρ Ἰουδαίου καθαιρεῖται τὸ δόγμα τῇ τε τοῦ λόγου παραδοχῇ καὶ τῇ πίστει τοῦ πνεύματος· τῶν δὲ ἑλληνιζόντων ἡ πολύθεος ἐξαφανίζεται πλάνη, τῆς κατὰ φύσιν ἑνότητος παραγραφομένης τὴν πληθυντικὴν φαντασίαν. πάλιν δὲ αὖ ἐκ μὲν τῆς Ἰουδαικῆς ὑπολήψεως ἡ τῆς φύσεως ἑνότης παραμενέτω· ἐκ δὲ τοῦ Ἑλληνισμοῦ ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις μόνη, θεραπευθείσης ἑκατέρωθεν καταλλήλως τῆς ἀσεβοῦς ὑπονοίας· ἔστι γὰρ ὥσπερ θεραπεία τῶν μὲν περὶ τὸ ἓν πλανωμένων ὁ ἀριθμὸς τῆς τριάδος, τῶν δὲ εἰς πλῆθος ἐσκεδασμένων ὁ τῆς ἑνότητος λόγος.

4. Εἰ δὲ ἀντιλέγοι τούτοις ὁ Ἰουδαῖος, οὐκέτ' ἂν ἡμῖν

6 σημασιαν d || 10 ωσπερ]+τις l vulg || 12 λογος] desinit euth **4.** 13 αντιλεγει vulg

lies in presenting truth in its proper proportion, and in setting forth both sides of the antithesis exhibited by the Tripersonality and Unity of God. Cp. Bern. *Tract. de Errore Abael.* 3. 7 Novit pietas fidei... medium iter tenens, regia incedere via.

1. *αἱρέσεων*] Αἵρ. is here used in its earlier and non-ecclesiastical sense = 'a school of thought,' 'a sect of philosophy.'

3. *καθαιρεῖται*] '*is overthrown.*' This passage is reproduced by Io. Damasc. *de Fid. Orth.* i 7.

6. *παραγραφομένης*] Παραγράφειν = 'to draw a line across,' 'cancel,' 'annul.'

ib. *πληθ. φαντ.*] '*fancy of a plurality.*' *Φαντασία*, a term found both in Plato and Aristotle, is the process by which objects are presented to the mind, so that it may receive impressions from them. Then it is used of impressions received in this way. It is a favourite word with Stoic writers, who distinguish *φαντασία*, which may be fallible and have no real object behind it, from *καταληπτικὴ φαντασία*, which is infallible and the equivalent of *κατάληψις*. In the present passage the word suggests an unreal imagination.

9. *καταλλήλως*] '*an appropriate remedy being found for the wrong opinion entertained on either side.*' For καταλλήλως cp. c. 1 κατάλληλον ...*τῇ φύσει τὸ δ' λόγον.*

12. *ἐσκεδ.*] '*the doctrine of the unity is a remedy for those whose allegiance has been divided amongst a plurality,*' lit. '*who have been scattered amongst a plurality.*' The word ἐσκεδ. as compared with the preceding πλανωμένων may suggest the thought that polytheists had not merely 'wandered' from the truth, but had become 'scattered' by the very nature of their creed. There is possibly also the thought of a distraction of mind. Cp. *prol.* p. 5 *τὸ ἐσκεδασμένον τῆς διανοίας εἰς πλῆθος θεῶν.*

4. *The Jew may be further convinced by an appeal to Scripture. To take one passage out of many, the words 'By the Word of the Lord*

ἐκ τοῦ ἴσου δύσκολος ὁ πρὸς ἐκεῖνον γενήσεται λόγος. ἐκ γὰρ τῶν συντρόφων αὐτῷ διδαγμάτων ἡ τῆς ἀληθείας ἔσται φανέρωσις. τὸ γὰρ εἶναι λόγον θεοῦ καὶ πνεῦμα θεοῦ, οὐσιωδῶς ὑφεστώσας δυνάμεις, ποιητικάς τε τῶν γεγενημένων καὶ περιεκτικὰς τῶν ὄντων, ἐκ τῶν θεοπνεύστων γραφῶν ἐναργέστερον δείκνυται. ἀρκεῖ δὲ μιᾶς μαρτυρίας ἐπιμνησθέντας τοῖς φιλοτιμοτέροις καταλιπεῖν τῶν πλειόνων τὴν εὕρεσιν. Τῷ λόγῳ τοῦ κυρίου, φησίν, οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ποίῳ λόγῳ καὶ ποίῳ πνεύματι; οὔτε γὰρ ῥῆμα ὁ λόγος, οὔτε ἄσθμα τὸ πνεῦμα. ἦ γὰρ ἂν καθ' ὁμοιότητα τῆς ἡμετέρας φύσεως καὶ τὸ θεῖον ἐξανθρωπίζοιτο, εἰ τοιούτῳ κεχρῆσθαι λόγῳ καὶ τοιούτῳ πνεύματι τὸν τοῦ παντὸς ποιητὴν δογματίζοιεν.

1 ισου] ιδιου vulg || 7 φιλοπονωτεροις fg* vulg || 8 ευρεσιν] εφεσιν f || 13 ει] και vulg

were the heavens established, and all the power of them by the breath of His mouth' point to the existence of the Word and the Spirit as personal, self-subsistent powers.

1. γενήσεται] For this use of ἄν with Fut. Indic. see Goodwin *Greek Moods and Tenses*, § 37.

4. οὐσιωδῶς ὑφ.] Cp. *antea* c. 2 [λόγον] οὐσιωδῶς ὑφεστῶτα with note.

5. περιεκτικὰς τῶν ὄντων] 'containing all things which exist.' The single quotation which Gr. gives only illustrates the existence of λόγος and πνεῦμα as ποιητικαὶ δυνάμεις. But he is thinking of other passages of the O.T. which speak of the Divine Spirit as upholding and containing all things. Cp. Ps. civ (ciii) 29, 30, cxxxix (cxxxviii) 7, Job xxxiii 4, and esp. Wisd. i 7.

7. φιλοτιμοτέροις] i.e. more ambitious for complete investigation. The Paris edd. read φιλοπονωτέροις which is a correction of the text.

8. Τῷ λόγῳ] from Ps. xxxiii (xxxii) 6. In the original passage there is no reason to suppose that a reference to a personal Word is intended, though the passage may have influenced the Logos doctrine. The word for 'breath' is identical with that for 'spirit' in Gen. i 2, but the parallelism suggests that the 'breath of His mouth' is synonymous with 'word.' Gr. interprets the passage acc. to the methods of his time.

10. δύναμις] in the original passage means 'host' and refers to sun, moon, and stars.

11. ῥῆμα] The Word is not mere 'utterance,' neither is the Spirit mere 'breath.' These ideas he has refuted in cc. 2 and 3.

13. ἐξανθρωπίζοιτο] further defined by καθ' ὁμ. τ. ἡ. φύσεως. Cp. *infra* τὸ θεῖον κατάγοντες. Translate *'would be lowered to the level of man.'*

14. δογματίζοιεν] used freq. by Gr. with reference to the doctrines held by heretics. Cp. c. 9 (*sub fin.*), c. 15.

τίς δὲ καὶ δύναμις ἀπὸ ῥημάτων καὶ ἄσθματος τηλικαύτη, ὡς ἐξαρκεῖν πρὸς οὐρανῶν σύστασιν καὶ τῶν ἐν τούτοις δυνάμεων; εἰ γὰρ ὅμοιος τῷ ἡμετέρῳ ῥήματι καὶ ὁ τοῦ θεοῦ λόγος καὶ τὸ πνεῦμα τῷ πνεύματι, ὁμοία πάντως ἐκ τῶν ὁμοίων ἡ δύναμις· καὶ ὅσην ὁ ἡμέτερος, τοσαύτην καὶ ὁ τοῦ θεοῦ λόγος τὴν ἰσχὺν ἔχει. ἀλλὰ μὴν ἀνενέργητά τε καὶ ἀνυπόστατα τὰ παρ' ἡμῖν ῥήματα καὶ τὸ τοῖς ῥήμασι συνδιεξερχόμενον πνεῦμα. ἄπρακτα πάντως καὶ ἀνυπόστατα κἀκεῖνα κατασκευάσουσιν οἱ πρὸς τὴν ὁμοιότητα τοῦ παρ' ἡμῖν λόγου τὸ θεῖον κατάγοντες. εἰ δέ, καθὼς λέγει Δαβίδ, ἐστερεώθησαν τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ καὶ αἱ δυνάμεις αὐτῶν ἐν τῷ πνεύματι τοῦ θεοῦ τὴν σύστασιν ἔσχον, ἆρα συνέστηκε τὸ τῆς ἀληθείας μυστήριον, λόγον ἐν οὐσίᾳ καὶ πνεῦμα ἐν ὑποστάσει λέγειν ὑφηγούμενον.

5. Ἀλλὰ τὸ μὲν εἶναι λόγον θεοῦ καὶ πνεῦμα διά τε

1 δε και] δαι και dp δ οιχεται vulg || 2 ουρανου deghlnp || 7 om παρ ημιν ρηματα και το l* vulg || 8 συνδιεξερχομενα πνευματα vulg || παντως] παντα f || 9 κατασκευαζουσιν eg^{1}l vulg || 11 ο Δ. e || om του ep || 12 πνευματι] λογω g* || 13 εχουσιν e || 14 πνευμα] πνευματι e **5.** 16 λογον] om p

1. *τίς δέ*] Mere 'utterances' and 'breath' would not suffice for the framing (*σύστασιν*) of heaven and the powers therein.

6. *ἀλλὰ μήν*] In our case the utterances and the breath which accompanies them are 'inoperative' and 'unsubstantial.' Cp. *antea*, c. 1, of the power of the Word, *δυναμένην δὲ μὴ ἀνενέργητον εἶναι.*

9. *κἀκεῖνα*] i.e. the Divine λόγος and πνεῦμα:—'*prove that the Divine Word and Spirit are absolutely inactive and unsubstantial.*' For *κατασκευάζειν* cp. c. 1 *κατασκευάσει* (note) and *κατασκευαῖς* (*prol.*).

13. *συνέστηκε*] '*is established.*'

14. *ὑποστάσει*] used here as a synonym for *οὐσίᾳ*. Cp. the anathema of the Nicene Creed *ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας*. '*Teaching us to speak of a Word in actual being and a Spirit in subsistence.*'

15. *ὑφηγούμενον*] Τφ. = 'to guide,' 'instruct.' Cp. Plat. *Rep.* 403 E *ἡμεῖς δὲ ὅσον τοὺς τύπους ὑφηγησαίμεθα.*

CHAPS. V—VIII. THE CREATION OF MAN AND THE ORIGIN OF EVIL.

5. *Our next step is to vindicate the Incarnation against the objections of Greeks and Jews. Man, like the rest of Creation, owes his existence to the activity of the self-subsistent Word of God. The motive of man's crea-*

τῶν κοινῶν ἐννοιῶν ὁ Ἕλλην καὶ διὰ τῶν γραφικῶν ὁ Ἰουδαῖος ἴσως οὐκ ἀντιλέξει· τὴν δὲ κατὰ ἄνθρωπον οἰκονομίαν τοῦ θεοῦ λόγου κατὰ τὸ ἴσον ἑκάτερος αὐτῶν ἀποδοκιμάσει ὡς ἀπίθανόν τε καὶ ἀπρεπῆ περὶ θεοῦ λέγεσθαι. οὐκοῦν ἐξ ἑτέρας ἀρχῆς καὶ εἰς τὴν περὶ τούτου πίστιν τοὺς ἀντιλέγοντας προσαξόμεθα. λόγῳ τὰ πάντα γεγενῆσθαι καὶ σοφίᾳ παρὰ τοῦ τὸ πᾶν

1 γραφικων] γραφων h* || 2 τον ανθρωπον fl vulg || 4 απρεπες eg || 5 ετερας] εκατερας f || 6 προσαξωμεθα degnp

tion was not any necessity, but the superabundance of love, and the desire to impart the perfections of the Divine Being. Man's nature accordingly was fashioned in a way that fitted him to participate in those perfections. Thus man was equipped with various gifts and amongst them with immortality. The Scriptural expression 'the image of God' and the account of Creation indicate these truths, and show that man's nature was originally good and surrounded with good. To the objection that man's actual state is the reverse of this we reply that man's present evil condition is due to another cause than the will of God. Being in 'the image of God' involved the possession of free-will and self-determination, so that the participation in the Divine blessings should be the reward of virtue. Whence then did evil spring? Not from the Divine will, but from man's free choice and his withdrawal from good. For evil has no substantive existence, but is the absence of good.

1. κοινῶν ἐννοιῶν] 'general ideas.' The expression κοιναὶ ἔννοιαι occurs freq. in Origen in the sense of moral or religious notions which are common to mankind. Cp. *Philocal.* ix 2 (p. 56 ed. Rob.) ὁ γὰρ γραπτὸς ἐν ταῖς καρδίαις νόμος καὶ ἐν ἐθνικοῖς φύσει τὰ τοῦ νόμου ποιοῦσιν οὐκ ἄλλος ἐστὶ τοῦ κατὰ τὰς κοινὰς ἐννοίας φύσει ἐγγεγραμμένου τῷ ἡγεμονικῷ ἡμῶν. In the present passage Gr. is referring to the illustrations, derived from the facts of human nature, given in cc. 1—3. On the points of contact between Greek thought and Christian theology see Introd. pp. xi, xvii.

2. τὴν δ. κ. ἄ. οἰκονομίαν] Οἰκ. is used commonly in patristic writers of the plan or 'dispensation' of God in the Incarnation. Hence Theodoret *Dial.* ii p. 129 (Migne) says τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου καλοῦμεν οἰκονομίαν. The source of the phrase is Eph. i 10. See Lightfoot *Notes on Epp.* p. 319, for a valuable note on the word. The fuller expression ἡ κατὰ ἄνθρωπον οἰκονομία occurs also twice in c. 20 and in *Ep. ad Eustathiam*, p. 1020 (Migne). The expression κατὰ ἄνθρωπον refers to the form which the οἰκονομία took. It was a dispensation κατ' ἄνθρωπον 'after a human manner' i.e. in the form of an Incarnation. Other expressions to denote the Incarnation found in patristic writers are ἡ κατὰ σάρκα οἰκονομία (Greg. Nyss.), ἡ ἔνσαρκος οἰκονομία (Chrys., Ath., Thdrt.), ἡ ἀνθρωπίνη οἰκονομία (Chrys.). The *gen.* in τοῦ Θεοῦ Λόγου is subjective, and the whole expression is equivalent to 'the Incarnation of God the Word.'

5. ἀρχῆς] i.e. a starting point or basis of proof. Cp. *prol.* ἀρχάς τινας καὶ προτάσεις.

6. λόγῳ] here = 'reason.'

συστησαμένου πιστεύουσιν, ἢ καὶ πρὸς ταύτην δυσπειθῶς ἔχουσι τὴν ὑπόληψιν. ἀλλ' εἰ μὴ δοῖεν λόγον καθηγεῖσθαι καὶ σοφίαν τῆς τῶν ὄντων συστάσεως, ἀλογίαν τε καὶ ἀτεχνίαν τῇ ἀρχῇ τοῦ παντὸς ἐπιστήσουσιν. εἰ δὲ τοῦτο ἄτοπόν τε καὶ ἀσεβές, ὁμολογεῖται πάντως ὅτι λόγον τε καὶ σοφίαν ἡγεμονεύειν τῶν ὄντων ὁμολογήσουσιν. ἀλλὰ μὴν ἐν τοῖς φθάσασιν ἀποδέδεικται μὴ αὐτὸ τοῦτο ῥῆμα ὢν ὁ τοῦ θεοῦ λόγος, ἢ ἕξις ἐπιστήμης τινὸς ἢ σοφίας, ἀλλὰ κατ' οὐσίαν τις ὑφεστῶσα δύναμις, προαιρετική τε παντὸς ἀγαθοῦ καὶ ἐν ἰσχύι πᾶν τὸ κατὰ προαίρεσιν ἔχουσα· ἀγαθοῦ δὲ ὄντος τοῦ κόσμου τὴν τῶν ἀγαθῶν προεκτικήν τε καὶ ποιητικὴν δύναμιν αἰτίαν εἶναι. εἰ δὲ τοῦ κόσμου παντὸς ἡ ὑπόστασις τῆς τοῦ λόγου δυνάμεως ἐξήπται, καθὼς ἡ ἀκολουθία παρέδειξεν, ἀνάγκη πᾶσα καὶ τῶν τοῦ κόσμου μερῶν μὴ ἄλλην ἐπινοεῖν αἰτίαν τινὰ τῆς συστάσεως, ἀλλ' ἢ τὸν λόγον αὐτόν, δι' οὗ τὰ πάντα τὴν εἰς τὸ γενέσθαι πάροδον ἔσχε. τοῦτον δὲ εἴτε λόγον, εἴτε σοφίαν, εἴτε δύναμιν, εἴτε θεόν, εἴτε ἄλλο τι τῶν ὑψηλῶν τε καὶ τιμίων ὀνομάζειν τις ἐθέλοι, οὐ διοισόμεθα. ὅ τι γὰρ ἂν εὑρεθῇ δεικτικὸν τοῦ ὑπο-

4 του π. τ. αρχη f || 8 εξ επιστημης efl vulg || 12 προεκτικην] ορεκτικην fl ορεκτην vulg || 15 τινα αιτιαν g || 17 τουτο vulg

4. ἐπιστήσουσιν] '*they will set up unreason and unskilfulness to rule over the beginning of the Universe.*'

7. φθάσασιν] i.e. in c. 1. Αὐτὸ τ. ῥ. i.e. 'just this—an utterance,' and nothing more.

8. ἕξις] '*possession.*' Cp. c. 6, where blindness is called προλαβούσης ἕξεως στέρησιν. The exact phrase ἕξις ἐπιστήμης in the sense of 'having possession of knowledge' occurs in Plat. *Theaet.* 197 A (cp. Arist. *Eth.* vii 3. 7) where ἕξις is contrasted with κτῆσις.

11. ἀγαθοῦ δέ] '*and it has been shown that, since the world is good, its cause is the power which offers and creates all good things.*' The MSS are divided between ὀρεκτικήν and προεκτικήν. The former is obviously a correction. Hesychius (i 376) and Suidas (ed. Gaisford, p. 3091) regard the form προεκτικός as a corruption of προετικός. But here it may quite well be derived from προέχειν or προέχεσθαι in the sense of 'hold forth,' 'offer.' Its sense would thus be similar to προετικήν. So it appears to have been understood by P. Morel, who in his Latin version has 'vim illam, quae bona largitur et efficit.'

14. ἐξήπται] '*depends on.*' Cp. c. 25 τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα.

19. οὐ διοισόμεθα] in pass. sense, 'we shall not differ' or 'quarrel.'

20. ὅ τι γάρ κτλ.] i.e. whatever 'word' or 'name' we use to express

κειμένου ῥῆμα ἢ ὄνομα, ἔν ἐστι τὸ διὰ τῶν φωνῶν σημαινόμενον, ἡ ἀίδιος τοῦ θεοῦ δύναμις, ἡ ποιητικὴ τῶν ὄντων, ἡ εὑρετικὴ τῶν μὴ ὄντων, ἡ συνεκτικὴ τῶν γεγονότων, ἡ προορατικὴ τῶν μελλόντων. οὗτος τοίνυν ὁ θεὸς λόγος, ἡ σοφία, ἡ δύναμις, ἀπεδείχθη κατὰ τὸ ἀκόλουθον τῆς ἀνθρωπίνης φύσεως ποιητής, οὐκ ἀνάγκῃ τινὶ πρὸς τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἐναχθείς, ἀλλ' ἀγάπης περιουσίᾳ τοῦ τοιούτου ζῴου δημιουργήσας τὴν γένεσιν. ἔδει γὰρ μήτε τὸ φῶς ἀθέατον, μήτε τὴν δόξαν ἀμάρτυρον, μήτε ἀναπόλαυστον εἶναι τὴν ἀγαθότητα, μήτε τὰ ἄλλα πάντα, ὅσα περὶ τὴν θείαν καθορᾶται φύσιν, ἀργὰ κεῖσθαι, μὴ ὄντος τοῦ μετέχοντός τε καὶ ἀπολαύοντος. εἰ τοίνυν ἐπὶ τούτοις ὁ ἄνθρωπος εἰς γένεσιν ἔρχεται, ἐφ' ᾧ τε μέτοχος τῶν θείων ἀγαθῶν γενέσθαι, ἀναγκαίως τοιοῦτος κατασκευάζεται, ὡς ἐπιτηδείως πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ἔχειν. καθάπερ γὰρ ὁ ὀφθαλμὸς διὰ

5 ο λογος l vulg || 7 ενεχθεις g^1 || 9 αθεατον] ασυστατον d || 10 αναπολ.]+αυτου fl vulg

the idea of God. For τὸ ὑπ.= 'subject' cp. *prol.* εἰ γὰρ τὸ τέλειον ἐν παντὶ δοίη περὶ τὸ ὑποκείμενον ὁμολογεῖσθαι.

3. συνεκτικὴ] fr. συνέχειν, 'to hold together,' 'maintain.' Cp. Greg. Naz. *Or.* xxviii 6, with Dr Mason's note.

5. ὁ θεὸς λόγος] This is the correct reading. The variant ὁ λόγος arose from a desire to bring the passage into closer harmony with the preceding words τοῦτον δὲ εἴτε λόγον, εἴτε σοφίαν κτλ. The expression ὁ θεὸς λόγος is common in Athanasius, e.g. *de Inc.* cc. 18, 19. Cp. also οἰκονομίαν τοῦ θεοῦ λόγου in this chapter. '*So then this Being, who is God the Word, Wisdom, Power.*'

6. οὐκ ἀνάγκῃ] The world and man are not parts of some necessary evolution from the Divine Being, as in the Gnostic theories of emanations.

8. ἀγάπης περιουσίᾳ] The love of God is with Gr. not only the cause of man's creation, but it also renders possible the self-humiliation of the Word in the Incarnation, in which there was exhibited συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις (c. 24). Cp. also cc. 19, 20. The same standpoint is taken by Athanasius *de Inc.* cc. 4, 6.

13. ἐπὶ τούτοις] 'for these ends,' 'for this purpose.' Cp. *infra* ἐπὶ τῇ...ἀπολαύσει.

15. ἐπιτηδείως...ἔχειν] In what follows Gr. shews that man is fitted to enjoy Divine blessings by his possession of reason, wisdom, and, above all, immortality. He illustrates this from the way in which the natural organs and the life of animals are adapted to their surroundings.

16. καθάπερ γάρ] '*For just as the eye by means of the bright beam which is planted by nature in it*

τῆς ἐγκειμένης αὐτῷ φυσικῶς αὐγῆς ἐν κοινωνίᾳ τοῦ φωτὸς γίνεται, διὰ τῆς ἐμφύτου δυνάμεως τὸ συγγενὲς ἐφελκόμενος, οὕτως ἀναγκαῖον ἦν ἐγκραθῆναί τι τῇ ἀνθρωπίνῃ φύσει συγγενὲς πρὸς τὸ θεῖον, ὡς ἂν διὰ τοῦ καταλλήλου πρὸς τὸ οἰκεῖον τὴν ἔφεσιν ἔχοι. καὶ γὰρ καὶ ἐν τῇ τῶν ἀλόγων φύσει, ὅσα τὸν ἔννυδρον καὶ ἐναέριον ἔλαχε βίον, καταλλήλως ἕκαστον τῷ τῆς ζωῆς εἴδει κατεσκεύασται, ὡς οἰκεῖον ἑκατέρου καὶ ὁμόφυλον διὰ τῆς ποιᾶς τοῦ σώματος διαπλάσεως τῷ μὲν τὸν ἀέρα, τῷ δὲ τὸ ὕδωρ εἶναι. οὕτως οὖν καὶ τὸν ἄνθρωπον ἐπὶ τῇ τῶν θείων ἀγαθῶν ἀπολαύσει γενόμενον ἔδει τι συγγενὲς ἐν τῇ φύσει πρὸς τὸ μετεχόμενον ἔχειν. διὰ τοῦτο καὶ ζωῇ καὶ λόγῳ καὶ σοφίᾳ καὶ πᾶσι τοῖς θεοπρεπέσιν ἀγαθοῖς κατεκοσμήθη, ὡς ἂν δι' ἑκάστου τούτων πρὸς τὸ οἰκεῖον τὴν ἐπιθυμίαν ἔχοι. ἐπεὶ οὖν ἓν τῶν περὶ τὴν θείαν φύσιν ἀγαθῶν καὶ ἡ ἀιδιότης ἐστίν, ἔδει πάντως μηδὲ τούτου τὴν κατασκευὴν εἶναι τῆς φύσεως ἡμῶν ἀπόκληρον, ἀλλ' ἔχειν ἐν ἑαυτῇ τὸ ἀθάνατον, ὡς ἂν διὰ τῆς ἐγκειμένης

6 και εν.] η τον αεριον fg[1] || 7 κατεσκευασθη fl vulg || 8 εκατερον f || 10 το υδωρ] om το n || ουτω γουν f

comes to partake of the light, attracting by its innate capacity that which is akin to it.' Gr. conceives of the eye as possessing a light within itself, by which it is enabled to attract light from without. The idea is found in Plato *Tim.* 45 B—D, and is commented on by Aristotle *de Sensu* c. ii. Dr H. Jackson, to whom I am indebted for the above references, has also called my attention to a passage in a fragment of Theophrastus *de Sensibus* § 5 (see Diels *Doxographi Graeci*, p. 500) where Plato's view is set forth.

4. διὰ τ. κατ.] '*in order that by means of this corresponding gift it might have a desire for that which is akin to it.*' For καταλλ. cp. c. 1 κατάλληλον...τῇ φύσει ὁ λόγος. The possession of the higher faculties leads man to seek after communion with God and the divine life.

6. ἀλόγων] In irrational animals we find the same adaptation to their intended environment. Each is constituted in a way that corresponds with (καταλλήλως) its manner of life.

8. ὡς οἰκεῖον] '*so that in consequence of the particular formation of the body, each finds its own proper and kindred element, the one in the air, the other in the water.*' For this use of the indefinite adj. ποιός cp. *de Hom. Op.* c. 27 αἱ ποιαὶ τῆς κράσεως παραλλαγαί.

ib. ὁμόφυλον] '*kindred*' i.e. corresponding with its manner of life.

10. ἐπὶ τῇ] Cp. *supra* ἐπὶ τούτοις.

13. θεοπρεπ.] 'appropriate to God.'

18. τὸ ἀθάνατον] is that part of man which is immortal, while ἀιδιότης denotes the actual possession of immortality which belongs to God.

ib. ὡς ἄν] Man's innate capacity

δυνάμεως γνωρίζοι τε τὸ ὑπερκείμενον καὶ ἐν ἐπιθυμίᾳ τῆς θείας ἀιδιότητος εἴη. ταῦτά τοι περιληπτικῇ φωνῇ δι' ἑνὸς ῥήματος ὁ τῆς κοσμογονίας ἐνεδείξατο λόγος, κατ' εἰκόνα θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι λέγων· ἐν γὰρ τῇ ὁμοιώσει τῇ κατὰ τὴν εἰκόνα πάντων ἐστὶ τῶν τὸ θεῖον χαρακτηριζόντων ἡ ἀπαρίθμησις, καὶ ὅσα περὶ τούτων ἱστορικώτερον ὁ Μωσῆς διεξέρχεται, ἐν διηγήσεως εἴδει δόγματα ἡμῖν παρατιθέμενος, τῆς αὐτῆς ἔχεται διδασκαλίας. ὁ γὰρ παράδεισος ἐκεῖνος καὶ ἡ τῶν καρπῶν ἰδιότης, ὧν ἡ βρῶσις οὐ γαστρὸς πλησμονήν, ἀλλὰ γνῶσιν καὶ ἀιδιότητα ζωῆς τοῖς γευσαμένοις δίδωσι, πάντα ταῦτα συνάδει τοῖς προτεθεωρημένοις περὶ τὸν ἄνθρωπον, ὡς

1 γνωριζοιτο f vulg ‖ 2 τοι] τη $g^{1}l^{1}$ vulg ‖ 3 κοσμογενειας degl*np ‖ 4 γεγ. τ. ανθρ. f ‖ 5 παντως vulg ‖ om των l* ‖ 7–8 ιστορικ....παρατιθεμενος desunt in l* vulg ‖ 8 αυτης] τοιαυτης l^{*vid} vulg ‖ 10 αιδιοτης $ef^{1}h$ ‖ πλησμονην] ηδονην f ‖ 11 ταυτα παντα d

(ἐγκειμένης δυνάμεως) for immortality was intended to enable him to recognize that which transcended his nature (τὸ ὑπερκείμενον), and lead him to desire the immortal life of God. For τὸ ὑπερκείμενον cp. *prol.* δύναμιν...τοῦ παντὸς ὑπερκειμένην.

2. περιληπτικῇ] '*comprehensive.*' The phrase κατ' εἰκόνα θεοῦ (Gen. i 27) sums up all that Gr. has been saying.

5. ὁμοιώσει...εἰκόνα] '*in the likeness according to the image there is the enumeration of all that characterizes the Divine Being.*' Gr. does not appear to observe the clear distinction between εἰκών, the natural image of God in man, and ὁμοίωσις, the supernatural likeness resulting from grace, which is found in Origen. This distinction is, indeed, attributed to Gr. by Hilt (*Des hl. Greg. v. Nyssa Lehre von Menschen*, pp. 77 sq.), but the only passage which can be quoted in support of it is *In verba Faciamus*, p. 273 (Migne), where the writer says κατ' εἰκόνα γὰρ ἔχω τὸ λογικὸς εἶναι, καθ' ὁμοίωσιν δὲ γίνομαι ἐν τῷ Χριστιανὸς γενέσθαι. But this work, though quoted as Gr.'s by Harnack (*Hist. of Dogma*, Eng. Tr. iii 277, note 2), is of very doubtful authorship, and Bardenhewer (*Patrol.* p. 260 f.) thinks that it cannot be assigned either to Basil or to Gregory. In c. 21 *infra*, Gr. certainly uses ὁμοίωσις with reference to the natural endowments of man, and especially free-will, without any necessary reference to moral likeness.

6. ἀπαρίθμ.] almost = 'the sum total.'

8. δόγματα] '*setting before us doctrines in the form of narrative.*' This is an instance of the application of ἀναγωγή to the narrative of the O.T. See note on ἀναγωγικῶς c. 2 *init.* For a similar treatment of the narratives in Genesis see Origen *de Princ.* iv 16 (*Philocal.*, ed. Rob. p. 24).

ib. ἔχεται] '*belongs to the same teaching.*'

9. ὁ γὰρ παράδ.] The story of Paradise is a representation of the truth that man's nature as created was good and surrounded by good (ἐν ἀγαθοῖς).

ἀγαθῆς τε καὶ ἐν ἀγαθοῖς οὔσης κατ' ἀρχὰς ἡμῖν τῆς φύσεως. ἀλλ' ἀντιλέγει τυχὸν τοῖς εἰρημένοις ὁ πρὸς τὰ παρόντα βλέπων καὶ οἴεται διελέγχειν τὸν λόγον οὐκ ἀληθεύοντα τῷ μὴ ἐν ἐκείνοις νῦν, ἀλλ' ἐν πᾶσι σχεδὸν τοῖς ὑπεναντίοις, ὁρᾶσθαι τὸν ἄνθρωπον. ποῦ γὰρ τῆς ψυχῆς τὸ θεοειδές; ποῦ δὲ ἡ ἀπάθεια τοῦ σώματος; ποῦ τῆς ζωῆς τὸ ἀίδιον; ὠκύμορον, ἐμπαθές, ἐπίκηρον, πρὸς πᾶσαν παθημάτων ἰδέαν κατά τε σῶμα καὶ ψυχὴν ἐπιτήδειον, ταῦτα καὶ τὰ τοιαῦτα λέγων καὶ κατατρέχων τῆς φύσεως, ἀνατρέπειν τὸν ἀποδοθέντα περὶ τοῦ ἀνθρώπου λόγον οἰήσεται. ἀλλ' ὡς ἂν μηδαμοῦ τῆς ἀκολουθίας ὁ λόγος παρατραπείη, καὶ περὶ τούτων ἐν ὀλίγοις διαληψόμεθα. τὸ νῦν ἐν ἀτόποις εἶναι τὴν ἀνθρωπίνην ζωὴν οὐχ ἱκανός ἐστιν ἔλεγχος τοῦ μηδέποτε τὸν ἄνθρωπον ἐν ἀγαθοῖς γεγενῆσθαι· ἐπειδὴ γὰρ θεοῦ ἔργον ὁ ἄνθρωπος, τοῦ δι' ἀγαθότητα τὸ ζῷον τοῦτο παραγαγόντος εἰς γένεσιν, οὐκ ἄν τις εὐλόγως, οὗ ἡ αἰτία τῆς συστάσεως ἀγαθότης ἐστί, τοῦτον ἐν κακοῖς γεγενῆσθαι παρὰ τοῦ πεποιηκότος καθυποπτεύσειεν· ἀλλ' ἕτερόν ἐστιν αἴτιον τοῦ ταῦτά τε νῦν περὶ ἡμᾶς εἶναι καὶ

2 αντιλεγοι dh || 8 ψυχην και σωμα 1 vulg || 10 λογον π. τ. ανθρωπου deghnp || 11 ποιησεται f || του ακολουθου vulg || 13 το νυν] exstant seqq in euth 12456 || ατοποις] κακοις euth 16 || 18–19 τουτον...πεποιηκοτος desunt in 1* vulg || 20 αιτ. εστιν ετ. 1

2. ἀλλ' ἀντιλέγει] It may be objected that man's present condition is the reverse of good. In what follows Gr. argues that man's actual state is due to another cause than the creative agency of God. The evil in man springs from within (ἐμφύεται ἔνδοθεν), and is the result of his possession of free-will.

6. ἀπάθεια] i.e. freedom from 'passions' rather than from 'suffering.'

7. ὠκύμορον] '*Man is a fleeting being, subject to passions, a prey to death, exposed to every form of suffering in body and soul.*' The adjs. are neuter, and the subject has to be supplied from the preceding τὸν ἄνθρωπον. For ὠκύμορον cp. c. 1 ὠκύμορος ἡ ζωή.

9. κατατρέχων] '*inveighing against.*' Cp. c. 15 κατατρέχειν τῆς πίστεως.

13. τὸ νῦν κτλ.] The remainder of this chap. is quoted by Euthym. Zig. *Pan. Dogm.* pt i, tit. 6.

17. οὐκ ἄν τις] '*one could not with any good reason suspect that he, whose constitution has its source in goodness, was created by his Maker in a state of evil.*'

19. ἀλλ' ἕτερον] The fact that

τῶν προτιμοτέρων ἐρημωθῆναι. ἀρχὴ δὲ πάλιν καὶ πρὸς τοῦτον ἡμῖν τὸν λόγον οὐκ ἔξω τῆς τῶν ἀντιλεγόντων ἐστὶ συγκαταθέσεως. ὁ γὰρ ἐπὶ μετουσίᾳ τῶν ἰδίων ἀγαθῶν ποιήσας τὸν ἄνθρωπον καὶ πάντων αὐτῷ τῶν καλῶν τὰς ἀφορμὰς ἐγκατασκευάσας τῇ φύσει, ὡς ἂν δι' ἑκάστου καταλλήλως πρὸς τὸ ὅμοιον ἡ ὄρεξις φέροιτο, οὐκ ἂν τοῦ καλλίστου τε καὶ τιμιωτάτου τῶν ἀγαθῶν ἀπεστέρησε, λέγω δὴ τῆς κατὰ τὸ ἀδέσποτον καὶ αὐτεξούσιον χάριτος. εἰ γάρ τις ἀνάγκη τῆς ἀνθρωπίνης ἐπεστάτει ζωῆς, διεψεύσθη ἂν ἡ εἰκὼν κατ' ἐκεῖνο τὸ μέρος, ἀλλοτριωθεῖσα τῷ ἀνομοίῳ πρὸς τὸ ἀρχέτυπον· τῆς γὰρ βασιλευούσης φύσεως ἡ ἀνάγκαις τισὶν ὑπεζευγμένη τε καὶ δουλεύουσα πῶς ἂν εἰκὼν ὀνομάζοιτο; οὐκοῦν τὸ διὰ πάντων πρὸς τὸ

1 προτερων l^1 euth || 2 εξωθεν fl vulg || 4 om τας euth || 6 om καταλληλως fl vulg || 9 τη ανθρωπινη...ζωη l vulg

man is in his present condition (ταῦτα νῦν περὶ ἡμᾶς εἶναι), and that he has lost his more desirable estate (τῶν προτιμοτέρων ἐρημωθῆναι) is due to a different cause than the creative action of God.

3. συγκαταθέσεως] '*assent*.' The argument starts from a principle with which Gr.'s opponents will find themselves in agreement.

5. ἀφορμάς] Krab. translates 'occasiones.' Ἀφορμή is freq. used by St Paul in the sense of 'occasion,' 'opportunity.' Cp. Rom. vii 8, 2 Cor. xii 12, Gal. v 13, 1 Tim. v 14. In the military sense it = 'a base of operations.' In the present passage Gr. is referring to man's possession of the higher faculties, which become the 'starting-point' or 'means' of acquiring all forms of excellence. For its use in this passage cp. c. 6 *sub fin.* τῆς ἀρχῆς ἐκείνης τοῦ τοιούτου τέλους τὰς ἀφορμὰς παρασχούσης.

ib. δι' ἑκάστου] i.e. through each endowment of his nature which is an ἀφορμὴ τῶν καλῶν. The following word καταλλήλως is omitted by one important group of MSS. But its presence here is in accordance with the language of Gr. in this same chapter. Cp. *antea* διὰ τοῦ καταλλήλου πρὸς τὸ οἰκεῖον τὴν ἔφεσιν ἔχοι. That passage determines the meaning here. It is not 'vicissim' as Krab. renders, but rather 'through a corresponding-movement.' Τὸ ὅμοιον, i.e. that attribute of God which corresponds to the human endowment.

9. εἰ γάρ] The possession of free-will is a necessary part of the εἰκών in which man was made, and which would have been falsified (διεψεύσθη), had it not resembled its archetype in this respect. Cf. *de Mortuis*, p. 524 (Migne) ἰσόθεον γάρ ἐστι τὸ αὐτεξούσιον.

11. ἀνομοίῳ πρός] Cp. c. 2, p. 13 ἀλλοτρίου...πρός (note).

13. οὐκοῦν] The effect of the gift of free-will is to make man's participation in good the reward of virtue. How then, it is asked, did man come to exchange good for evil? This leads Gr. to a discussion of the origin of evil, which he maintains

θεῖον ὡμοιωμένον ἔδει πάντως ἔχειν ἐν τῇ φύσει τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον, ὥστε ἄθλον ἀρετῆς εἶναι τὴν τῶν ἀγαθῶν μετουσίαν. πόθεν οὖν, ἐρεῖς, ὁ διὰ πάντων τοῖς καλλίστοις τετιμημένος τὰ χείρω τῶν ἀγαθῶν ἀντηλλάξατο; σαφὴς καὶ ὁ περὶ τούτου λόγος. οὐδεμία κακοῦ γένεσις ἐκ τοῦ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν· ἢ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, θεὸν ἑαυτῆς ἐπιγραφομένη ποιητὴν καὶ πατέρα· ἀλλ' ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν, τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις. καθάπερ γὰρ ἡ ὅρασις φύσεώς ἐστιν ἐνέργεια, ἡ δὲ πήρωσις στέρησίς ἐστι τῆς φυσικῆς ἐνεργείας, οὕτω καὶ ἡ ἀρετὴ πρὸς τὴν κακίαν

5 σαφης]+δε el*vid vulg || 6 om του fl vulg || 8 εκφυεται vulg

has no substantive existence but is ἀπὸ τοῦ καλοῦ τῆς ψυχῆς ἀναχώρησις.

5. οὐδεμία] In the margin of MSS *b* and *e*, opposite the passage which follows, are written the words κατὰ Μανιχαίων. All through the *Or. Cat.* Gr. has the Manichaeans in view. For his treatment of the problem of evil see further a fine passage in *de Virg.* c. 12. Cp. also *de Anima et Res.* p. 93 (Migne), *de Infant.* p. 176 (Migne). The idea is emphasized still further in c. 6 of the *Or. Cat.* Cp. also Plato *Rep.* ii 379 C, x 617 E.

7. ἐπιγραφομένη] '*if it could claim God as its creator and father.*' Ἐπιγρ. is used here as in the phrase προστάτην ἐπιγράφεσθαι 'to choose a patron' by enrolling under his name on the register. The idea is that evil might shelter itself under the name of God, if it could be ascribed to Him. With the application of the words ποιητὴν καὶ πατέρα to God cp. Plato *Tim.* 28 C.

8. ἐμφύεται] For the idea cp. James i 13—15.

9. συνιστάμενον] '*arising in the will whenever.*'

ib. τοῦ καλοῦ] '*the good.*' Τὸ καλόν is the Greek term for moral beauty or virtue, translated by Cicero 'honestum.'

10. ἀναχώρησις] For the idea of evil as the negation of good (ἀρετῆς ἀπουσίαν *infra*) cf. Basil *Hom.* ii *in Hex.* § 4 τὸ κακὸν οὐχὶ οὐσία ζῶσα καὶ ἔμψυχος ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετήν. Similarly Aug. *Ench.* xi 'cum omnino mali nomen non sit nisi privationis boni.' Cp. *de Civ. Dei* xii 6 seq. Cp. also Ath. *contra Gentes* 5—7, *de Inc.* 4. The conception is a piece of Platonism and has its roots in the teaching of the *Timaeus* which profoundly influenced the later Platonists. Cp. Plotinus *Enn.* iii 2. 5 ὅλως δὲ τὸ κακὸν ἔλλειψιν τοῦ ἀγαθοῦ θετέον. Its adoption by later fathers is due to the influence of Origen. Cp. *de Princ.* ii 9. 2 'Recedere a bono non aliud est quam effici in malo. Certum namque est, malum esse bono carere.' Cp. also *in Ioann.* ii 7, *c. Celsum* iv 65—66.

11. πήρωσις] here='*blindness.*' Πηρόω is used of anything which incapacitates man's faculties. See J. A. Robinson *Journal of Theol. Studies* iii 9 p. 90 ff. In cc. 6 and

ἀντικαθέστηκεν. οὐ γὰρ ἔστιν ἄλλως κακίας γένεσιν ἐννοῆσαι, ἢ ἀρετῆς ἀπουσίαν. ὥσπερ γὰρ τοῦ φωτὸς ὑφαιρεθέντος ὁ ζόφος ἐπηκολούθησε, παρόντος δὲ οὐκ ἔστιν, οὕτως, ἕως ἂν παρῇ τὸ ἀγαθὸν ἐν τῇ φύσει, ἀνύπαρκτόν τί ἐστι καθ' ἑαυτὴν ἡ κακία· ἡ δὲ τοῦ κρείττονος ἀναχώρησις τοῦ ἐναντίου γίνεται γένεσις. ἐπεὶ οὖν τοῦτο τῆς αὐτεξουσιότητός ἐστι τὸ ἰδίωμα, τὸ κατ' ἐξουσίαν αἱρεῖσθαι τὸ καταθύμιον, οὐχ ὁ θεός σοι τῶν παρόντων ἐστὶν αἴτιος κακῶν, ἀδέσποτόν τε καὶ ἄνετόν σοι κατασκευάσας τὴν φύσιν, ἀλλ' ἡ ἀβουλία τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος προελομένη.

6. Ζητεῖς δὲ καὶ τὴν αἰτίαν τυχὸν τῆς κατὰ τὴν βουλὴν διαμαρτίας· εἰς τοῦτο γὰρ ἡ ἀκολουθία τὸν λόγον φέρει. οὐκοῦν πάλιν ἀρχή τις ἡμῖν κατὰ τὸ εὔλογον εὑρεθήσεται, ἢ καὶ τοῦτο σαφηνίσει τὸ ζήτημα. τοιοῦτόν τινα λόγον παρὰ τῶν πατέρων διεδεξάμεθα· ἔστι δὲ ὁ λόγος οὐ

1 ανθεστηκεν l vulg || αλλην fl vulg || 2 απουσια n euth || 4 παρη] η fl vulg || 5 ανυπ. τι] om τι l euth 456 vulg || καθ εαυτο gl vulg || 6 γιν. τ. ε. γενεσις fl vulg || 8 αναιρεισθαι vulg || om σοι e euth 45 || 11 απο του κρειττ. euth 16 || προελομενη] ελομενη f: desinit euth **6.** 12 om δε dehn || βουλην] βουλησιν $g^{1}l^{1}$ || 13 των λογων l vulg

7 Gr. uses the illustration of a man shutting his eyes to the sunlight, to show that evil is the refusal of good.

5. ἀνύπαρκτον] Cp. c. 1, p. 8, and c. 2, p. 15.

8. καταθύμιον] a common word in Gr. = τὸ ἡδύ here. Cp. c. 8.

10. ἄνετον] '*free*,' '*uncontrolled*.'

ib. ἡ ἀβουλία] It is not God, but man's folly in preferring evil to good, which is the cause of man's present misery.

6. *We must now consider the causes which led man's judgment astray. The natural creation comprises two worlds, the world of intelligence and the world of sense. But though these are opposite to each other, yet, just as Nature exhibits a general harmony embracing individual differences, so the Divine wisdom has ordained a means of blending the intelligent and sensible elements by creating man. Man's nature excited the envy of one of the created spirits, for in a nature that was created and subject to change, like Satan's, such a passion was possible, involving the turning away from his Creator and the inclination to evil. Thus the rebellious spirit sank lower and lower in evil, and finally beguiled man to turn away from God, mingling evil with his will.*

12. κατὰ τ. βουλ.] referring to ἡ ἀβουλία at the close of c. 5.

14. ἀρχή] used as in *prol.* p. 3, and c. 5, p. 20 (see note).

16. πατέρων] Among earlier writ-

μυθώδης διήγησις, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἡμῶν τὸ πιστὸν ἐπαγόμενος. διπλῆ τίς ἐστιν ἐν τοῖς οὖσιν ἡ κατανόησις, εἰς τὸ νοητόν τε καὶ αἰσθητὸν τῆς θεωρίας διῃρημένης. καὶ οὐδὲν ἂν παρὰ ταῦτα καταληφθείη ἐν τῇ τῶν ὄντων φύσει τῆς διαιρέσεως ταύτης ἔξω φερόμενον. διῄρηται δὲ ταῦτα πρὸς ἄλληλα πολλῷ τῷ μέσῳ, ὡς μήτε τὴν αἰσθητὴν ἐν τοῖς νοητοῖς εἶναι γνωρίσμασι, μήτε ἐν τοῖς αἰσθητοῖς ἐκείνην, ἀλλ' ἀπὸ τῶν ἐναντίων ἑκατέραν χαρακτηρίζεσθαι. ἡ μὲν γὰρ νοητὴ φύσις ἀσώματόν τι χρῆμά ἐστι καὶ ἀναφὲς καὶ ἀνείδεον· ἡ δὲ αἰσθητὴ κατ' αὐτὸ τὸ ὄνομα ἐντός ἐστι τῆς διὰ τῶν αἰσθητηρίων κατανοήσεως. ἀλλ' ὥσπερ ἐν αὐτῷ τῷ αἰσθητῷ κόσμῳ, πολλῆς πρὸς ἄλληλα τῶν στοιχείων οὔσης ἐναντιώσεως,

2 η καταν.] om η vulg || 4 ληφθειη dgnp || 5 φερομενον] φερομενης e φαινομενον fg[1] || 6 διαιρειται f || 10 ανειδεον] αιδιον g

ers, teaching to the same effect is found in Justin *Dial.* c. 119, p. 205, Iren. v 22. 2. Cp. also Ath. *contra Gentes* 3, *de Inc.* 4, 25. In spite of the influence of Origen's thought on Gr., the latter does not adopt Origen's idea of a pre-temporal fall of souls. Cp. Origen *de Princ.* iii 5.

1. μυθώδης διήγησις] 'a mythical account,' i.e. an account given in some such form as the μῦθοι of Plato, which present truth in the form of poetic fiction. Gr. claims that his account of the origin of sin is one which invites credence (τὸ πιστὸν ἐπαγόμενος), owing to the very constitution of our nature (ἐξ αὐτῆς τῆς φύσεως ἡμῶν). It is possible that in μυθώδης διήγησις Gr. is thinking of the account in Genesis, which, like Origen, he interpreted (cp. cc. 5, 8) by ἀναγωγή. In accordance with the plan of the *Or. Cat.* he illustrates the origin of sin from human experience, i.e. the existence in man of τὸ νοητόν and τὸ αἰσθητόν, whose harmony has been disturbed. In the same way he has illustrated the doctrine of the Trinity from human consciousness.

2. διπλῆ] '*a twofold classification may be discerned.*' For διπλῆ κατανόησις cp. Plat. *Tim.* 82 C δευτέρα κατανόησις.

3. νοητὸν...αἰσθητόν] '*the world of intelligence*' (i.e. apprehended by intelligence), '*the world of sense*' (i.e. that falls under the observation of the senses). For the idea of νοῦς see note on διανοητικὴν δύναμιν *infra*. In what follows Gr. adopts a twofold division of human nature, and so departs from Origen, who retained St Paul's division of σῶμα, ψυχή, πνεῦμα (1 Thess. v 23).

6. πολλῷ τῷ μέσῳ] '*by a considerable distance*' or '*interval.*'

7. ἐν τ. ν. εἶναι] For εἶναι ἐν cp. c. 1 ἐν ζωῇ...εἶναι.

8. ἀπὸ τῶν ἐν.] Ἀπό denotes here the source. '*But each of them receives its particular character from qualities opposite to those of the other.*'

12. ἀλλ' ὥσπερ] Gr. illustrates the unity of man's nature, in spite of its combination of the opposites τὸ νοητόν and τὸ αἰσθητόν, from the

ἐπινενόηταί τις ἁρμονία διὰ τῶν ἐναντίων ἁρμοζομένη παρὰ τῆς τοῦ παντὸς ἐπιστατούσης σοφίας, καὶ οὕτως πάσης γίνεται πρὸς ἑαυτὴν συμφωνία τῆς κτίσεως, οὐδαμοῦ τῆς φυσικῆς ἐναντιότητος τὸν τῆς συμπνοίας εἰρμὸν διαλυούσης· κατὰ τὸν αὐτὸν τρόπον καὶ τοῦ αἰσθητοῦ πρὸς τὸ νοητὸν γίνεταί τις κατὰ θείαν σοφίαν μίξις τε καὶ ἀνάκρασις, ὡς ἂν πάντα τοῦ καλοῦ κατὰ τὸ ἴσον μετέχοι καὶ μηδὲν τῶν ὄντων ἀμοιροίη τῆς τοῦ κρείττονος φύσεως. διὰ τοῦτο τὸ μὲν κατάλληλον τῇ νοητῇ φύσει χωρίον ἡ λεπτὴ καὶ εὐκίνητός ἐστιν οὐσία, κατὰ τὴν ὑπερκόσμιον λῆξιν πολλὴν ἔχουσα τῷ ἰδιάζοντι τῆς φύσεως πρὸς τὸ νοητὸν τὴν συγγένειαν, προμηθείᾳ δὲ κρείττονι πρὸς τὴν αἰσθητὴν κτίσιν γίνεταί τις τοῦ

8 om τον fl vulg || 10 λεπτη] λευκη l+λογικη vulg || 13 κτισιν] φυσιν l vulg

harmony in diversity exhibited in the visible Universe.

1. ἐπινενόηται] '*a certain harmony has been devised by the wisdom which presides over the Universe, a harmony effected by means of opposites.*'

5. εἰρμόν]=*seriem.* '*A chain of agreement,*' which is not broken by the individual differences of the constituent parts.

7. μίξις τε καὶ ἀνάκρασις] '*mixture and blending.*' For this idea of the interpenetration of spirit and matter, which is a characteristic feature in Gr. cp. *de Orat. Dom.* iv p. 1165 (Migne).

ib. ὡς ἂν πάντα] Acc. to Gr. it is in and through man, whose nature is the meeting point of the worlds of spirit and of sense, that Creation reaches its final goal.

8. τῆς τ. κ. φύσεως] Krab. takes this as equiv. to 'ejus quod natura praestantius est.' Cp. Mayor's note on James iii 7. The whole phrase is synonymous with τοῦ καλοῦ above.

9. τὸ μὲν κατάλλ.] '*though the proper sphere for the intelligent nature is the realm of subtle and mobile essence, having, by virtue of its dwelling above the Universe, considerable affinity with the intelligible element, in consequence of the peculiarity of its nature, yet &c.*' The clause introduced by μέν is best taken as concessive. Ἡ λεπτὴ...οὐσία is the subject, and χωρίον the predicate. The idea is that λεπτὴ καὶ εὐκίνητος οὐσία is the natural abode for ἡ νοητὴ φύσις, but that God accomplished His purpose of bringing all things into union with Himself by a blending of the intelligent and sensible elements in man.

11. λῆξιν] '*Lot,*' '*appointed place*' (λαγχάνω). Moeller (*Greg. Nyss. doctr. de hominis natura*, p. 19) has a long discussion of this expression, in which he says 'a nonnullis vertitur sors, a nonnullis locus sive regio. Et revera utrumque inest. Significat enim certam vitae sortem atque consuetudinem certo loco inhaerentem.' Other examples of Gr.'s use of the word are *de Orat. Dom.* iv p. 1165 (Migne) ἡ μὲν οὖν νοητὴ [sc. φύσις] τὴν ἄνω λῆξιν ἐπιπορεύεται, where he

νοητοῦ συνανάκρασις, ὡς ἂν μηδὲν ἀπόβλητον εἴη τῆς κτίσεως, καθώς φησιν ὁ ἀπόστολος, μηδὲ τῆς θείας κοινωνίας ἀπόκληρον. τούτου χάριν ἐκ νοητοῦ τε καὶ αἰσθητοῦ τὸ κατὰ τὸν ἄνθρωπον μίγμα παρὰ τῆς θείας ἀναδείκνυται φύσεως, καθὼς διδάσκει τῆς κοσμογονίας ὁ λόγος· Λαβὼν γὰρ ὁ θεός, φησιν, χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασε καὶ διὰ τῆς ἰδίας ἐμπνεύσεως τῷ πλάσματι τὴν ζωὴν ἐνεφύτευσεν, ὡς ἂν συνεπαρθείη τῷ θείῳ τὸ γήινον καὶ μία τις κατὰ τὸ ὁμότιμον διὰ πάσης τῆς κτίσεως ἡ χάρις διήκοι, τῆς κάτω φύσεως πρὸς τὴν ὑπερκόσμιον συγκιρναμένης. ἐπεὶ οὖν τῆς νοητῆς κτίσεως προυποστάσης, καὶ ἑκάστῃ τῶν ἀγγελικῶν δυνάμεων πρὸς

5 κοσμογενειας elp vulg || 6 φησιν ο θ. dl vulg || 8 ενεφυσησεν d vulg || 9 om της f || 10 διηκει p διηκη dgn

is speaking of the angels. In *contra Eunom.* v p. 681 (Migne) he speaks of τήν τε γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ὑποχθόνιον λῆξιν. Cp. *de Hom. Op.* c. 17; *contr. Eunom.* xii p. 1004 (Migne). Moeller concludes 'Patet etiam ex hoc vocabulo, Gr. sicut reliquos patres fere omnes nullum creaturarum licet intelligibilium vitae statum loci finibus prorsus exemptum docuisse.'

1. συνανάκρασις] 'commingling.' In *de Hom. Op.* c. 12 Gr. discusses the relations of mind and matter in man and denies that the former can be limited to any particular part of the body. 'Ο νοῦς δὲ ὅλου τοῦ ὀργάνου διήκων, καὶ καταλλήλως ταῖς νοητικαῖς ἐνεργείαις, καθὸ πέφυκεν, ἑκάστῳ τῶν μερῶν προσαπτόμενος, ἐπὶ μὲν τῶν κατὰ φύσιν διακειμένων τὸ οἰκεῖον ἐνήργησεν. Cp. *de An. et Resurr.* p. 69 (Migne) ψυχὴν δὲ ἀσώματον οὖσαν μηδεμίαν ἀνάγκην ἔχειν ἐκ φύσεως τόποις τισὶν ἐγκατέχεσθαι. The nearest approach to these views is to be found in Plotinus. See *Enn.* iv 3. 20 sq.

ib. ἀπόβλητον] 1 Tim. iv 4 '*that no part of creation might be rejected.*'

There is a similar passage in the *de Infant. qui praem.* pp. 172 sq. (Migne).

5. ἀναδείκνυται] in the sense of 'appoint,' 'constitute,' 'make.'

6. χοῦν] Gen. ii 7.

8. ἐνεφύτευσεν] 'planted.' Cp. Plat. *Tim.* 42 A ὅποτε δὴ σώμασιν ἐμφυτευθεῖεν (sc. αἱ ψυχαί). The reading ἐνεφύσησεν is due to a desire to bring the passage into closer accord with Gen. ii 7, where ἐνεφύσησεν is found in the LXX.

ib. ὡς ἂν συνεπ.] The object in creating such a being as man was that the earthly nature might be carried up by union with (συνεπαρθείη) the Divine, so that the Divine grace in one even course as it were (μία τις) might equally extend through the whole creation.

11. ἐπεὶ οὖν] The protasis begun in the clause ἐπεὶ...ἦν τις is continued by the following clause εἶτα κατεσκευάσθη, and again resumed, after the parenthesis τοῦτο δέ, in the clause καὶ ἦν. The apodosis begins with δεινὸν ποιεῖται.

ib. νοητῆς κτίσεως] refers to τῶν ἀγγελικῶν δυνάμεων which follows.

τὴν τοῦ παντὸς σύστασιν ἐνεργείας τινὸς παρὰ τῆς τῶν πάντων ἐπιστατούσης ἐξουσίας προσνεμηθείσης, ἣν τις δύναμις καὶ ἡ τὸν περίγειον τόπον συνέχειν τε καὶ περικρατεῖν τεταγμένη, εἰς αὐτὸ τοῦτο δυναμωθεῖσα παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως· εἶτα κατεσκευάσθη τὸ γήινον πλάσμα, τῆς ἄνω δυνάμεως ἀπεικόνισμα· τοῦτο δὲ τὸ ζῷον ὁ ἄνθρωπος· καὶ ἦν ἐν αὐτῷ τὸ θεοειδὲς τῆς νοητῆς φύσεως κάλλος, ἀρρήτῳ τινὶ δυνάμει συγκεκραμένον· δεινὸν ποιεῖται καὶ οὐκ ἀνεκτὸν ὁ τὴν περίγειον οἰκονομίαν λαχών, εἰ ἐκ τῆς ὑποχειρίου αὐτῷ φύσεως ἀναδειχθήσεταί τις οὐσία πρὸς τὴν ὑπερέχουσαν ἀξίαν ὡμοιωμένη. τὸ δ' ὅπως ἐπὶ τὸ πάθος κατερρύη τοῦ φθόνου ὁ ἐπὶ μηδενὶ κακῷ κτισθεὶς παρὰ τοῦ τὸ πᾶν ἐν ἀγαθότητι συστησαμένου, τὸ μὲν δι' ἀκριβείας ἐπεξιέναι

3 om. και efl vulg || 12 ομοιουμενη g || οπως] οπερ vulg || 14 επεξ.] διεξ. l vulg

2. . προσνεμηθείσης] The angelic powers are represented as having each been assigned some activity in the constitution of the Universe. The idea is found in Methodius *de Resurr.* i 37 (ed. Bonw. p. 130), and still earlier in Origen *c. Celsum* v 30—31. Its source is to be found in the later Judaism. Cp. Rev. xiv 18, xvi 5. For *σύστασις* cp. c. 4 *πρὸς οὐρανῶν σύστασιν.*

3. *περίγειον τόπον*] One such angel was appointed to maintain and govern the region about the earth. For this epic notion cp. Methodius *l. c.*; also Rufin. *in Symb. Ap.* art. 4; Basil *Hom.* ix 8 sq.; Io. Damasc. *de Fid. Orth.* ii 4. See further Schwane *Dogmengesch.* ii p. 218; Godet *Bibl. Studies: Old Testament* (ed. Lyttleton), p. 16 ff. For *συνέχειν* see note on *συνεκτική* c. 5.

4. *δυναμωθεῖσα*] 'empowered.' Cp. *infra διὰ τῆς θείας εὐλογίας δυναμωθεὶς ὁ ἄνθρωπος.*

7. *καὶ ἦν*] The clause *ἀρρήτῳ τινὶ δύναμει συγκεκραμένον* is an explanatory addition to the main clause. '*In him there was the godlike beauty of the intelligent nature, blended with a certain ineffable potency.*' *Δύναμις* refers to the latent capacity of man as having been made *κατ' εἰκόνα θεοῦ.*

9. *δεινὸν ποιεῖται*] The angel of the earth takes it amiss that out of the nature subject to him (*τῆς ὑποχειρίου φύσεως = τῆς αἰσθητῆς φύσεως*) there should be produced any being resembling in dignity the Supreme Being.

11. *ἀναδειχθήσεται*] Cp. *supra ἀναδείκνυται* (note).

ib. *οὐσία*] The *οὐσία* of man is that which constitutes him *ἄνθρωπος*, and which he shares with every other member of the race. Similarly Gr. argues in the *de Comm. Not.* that the word *θεός* is *ὄνομα οὐσίας σημαντικόν* and not *ὄνομα προσώπων δηλωτικόν.*

13. *ἐπὶ μηδένι κακῷ*] 'created for no evil end.' Cp. c. 5, p. 22 *ἐπὶ τούτοις*, and *ibid.* p. 23 *ἐπὶ τῇ...ἀπολαύσει.*

οὐ τῆς παρούσης πραγματείας ἐστί, δυνατὸν δ' ἂν εἴη καὶ δι' ὀλίγου τοῖς εὐπειθεστέροις παραθέσθαι τὸν λόγον. τῆς γὰρ ἀρετῆς καὶ τῆς κακίας οὐχ ὡς δύο τινῶν καθ' ὑπόστασιν φαινομένων ἡ ἀντιδιαστολὴ θεωρεῖται· ἀλλ' ὥσπερ ἀντιδιαιρεῖται τῷ ὄντι τὸ μὴ ὂν καὶ οὐκ ἔστι καθ' ὑπόστασιν εἰπεῖν τὸ μὴ ὂν ἀντιδιαστέλλεσθαι πρὸς τὸ ὄν, ἀλλὰ τὴν ἀνυπαρξίαν ἀντιδιαιρεῖσθαι λέγομεν πρὸς τὴν ὕπαρξιν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ κακία τῷ τῆς ἀρετῆς ἀντικαθέστηκε λόγῳ, οὐ καθ' ἑαυτήν τις οὖσα, ἀλλὰ τῇ ἀπουσίᾳ νοουμένη τοῦ κρείττονος· καὶ ὥσπερ φαμὲν ἀντιδιαιρεῖσθαι τῇ ὁράσει τὴν πήρωσιν, οὐ καθ' ἑαυτὴν οὖσαν τῇ φύσει τὴν πήρωσιν, ἀλλὰ προλαβούσης ἕξεως στέρησιν, οὕτω καὶ τὴν κακίαν ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει θεωρεῖσθαι λέγομεν, οἷόν τινα σκιὰν τῇ ἀναχωρήσει τῆς ἀκτῖνος ἐπισυμβαίνουσαν. ἐπειδὴ τοίνυν ἡ

2 απειθεστεροις l* vulg || 12 εν τη φυσει fg¹l vulg || 12–13 om αλλα προλ. εξ. στερησιν f || 14 διαχωρησει l*vid vulg

1. πραγματείας] used here of a literary treatise = 'our present work.'

3–4. καθ' ὑπόστασιν φαιν.] *'two things which appear as actually existing.'*

4–14. ἀλλ' ὥσπερ] *'but just as the non-existent is logically opposed to that which exists, and it is not possible to say that the non-existent is distinguished, so far as actual subsistence is concerned, from that which exists, but we say that non-existence is logically opposed to existence; in the same way also "vice" is distinguished from "virtue," not because it has some independent existence, but because it is conceived of as arising from the absence of that which is good; and just as we say that blindness is logically opposed to sight, not because blindness belongs to nature as something having an existence of its own, but because it is the deprivation of a former possession, so also we say that vice is found where there is a deprivation of good.'* The argument is that the distinction which we make between the non-existent and the existent is a *logical* distinction only. They are not to be conceived of as two things on the same plane or possessing the same reality, any more than sight and blindness, the latter being merely the defect of the former. For ἀντιδιαιρεῖσθαι in the sense of 'logical division' cp. c. 15.

14. σκιάν] Evil is like some shadow which follows upon the withdrawal of the sun's ray.

15. ἐπειδή] In what follows Gr. proceeds to show how it was possible for a created spirit to be subject to such a passion as envy. It arose out of the possibility of change involved in possessing a created nature. Only an uncreated being is free from the movement expressed in such words as 'variation,' 'alteration' or 'change.'

ἄκτιστος φύσις τῆς κινήσεως τῆς κατὰ τροπὴν καὶ μεταβολὴν καὶ ἀλλοίωσίν ἐστιν ἀνεπίδεκτος, πᾶν δὲ τὸ διὰ κτίσεως ὑποστὰν συγγενῶς πρὸς τὴν ἀλλοίωσιν ἔχει, διότι καὶ αὐτὴ τῆς κτίσεως ἡ ὑπόστασις ἀπὸ ἀλλοιώσεως ἤρξατο, τοῦ μὴ ὄντος εἰς τὸ εἶναι θείᾳ δυνάμει μετατεθέντος· κτιστὴ δὲ ἦν καὶ ἡ μνημονευθεῖσα δύναμις, αὐτεξουσίῳ κινήματι τὸ δοκοῦν αἱρουμένη· ἐπειδὴ πρὸς τὸ ἀγαθόν τε καὶ ἄφθονον ἐπέμυσεν ὄμμα, ὥσπερ ὁ ἐν ἡλίῳ τοῖς βλεφάροις τὰς ὄψεις ὑποβαλὼν σκότος ὁρᾷ, οὕτω κἀκεῖνος αὐτῷ τῷ μὴ θελῆσαι τὸ ἀγαθὸν νοῆσαι τὸ ἐναντίον τῷ ἀγαθῷ κατενόησε. τοῦτο δέ ἐστιν ὁ φθόνος. ὁμολογεῖται δὲ παντὸς πράγματος ἀρχὴν τῶν

8 ομμα] νοημα fg^{1}l vulg ‖ 9 επιβαλων τ. οψ. l vulg τ. οψ. επιβαλων efg^{1} αποβαλων dhn ‖ 10 αυτο f ‖ το fp ‖ κατανοησαι deghnp ‖ 12 ομολογει l vulg ‖ αρχη f

2. πᾶν δέ] '*Whereas everything which came into being through an act of creation has a natural tendency to such change, because even the very subsistence of creation owed its beginning to change.*' Τῆς κτίσεως is of course 'the created Universe.' The idea of creation, Gr. maintains, carries with it the idea of mutability.

7. αὐτεξουσίῳ] '*choosing whatever it thinks fit by a movement of free-will.*'

8. ἄφθονον] 'free from envy,' 'ungrudging,' as opposed to the φθόνος with which the evil spirit viewed man's participation in Divine blessings.

ib. ἐπέμυσεν ὄμμα] The reading νόημα is plainly a corruption.

9. ὑποβαλών] There is a considerable variation of reading here. Ἀποβαλών is plainly a corruption of ὑποβαλών. It is not so easy to decide between ὑποβαλών and ἐπιβαλών, as there appear to be no exact parallels to the use of either word in such a connexion as the present passage affords. The phrase τὰ βλέφαρα ἐπιβάλλειν in the sense of 'closing the eyelids' occurs in Arist. *Physiog.* 6. 813 *a*, and also in Adamant. Soph. *Physiog.* i 23 where it is found in the phrase *οἱ ἀλλώπτοντες καὶ τὰ βλέφαρα ἐπιβάλλοντες*, but these instances do not justify such an expression as ἐπιβαλὼν τὰς ὄψεις. On the other hand the occurrence of such an expression as τὰ βλέφαρα ἐπιβάλλειν may have led to the alteration of ὑποβαλών into ἐπιβαλών. There is exactly the same variation of reading in c. 7 *sub fin.* in the expression ὑποβάλοι τοῖς βλεφάροις τὴν ὅρασιν.

11. κατενόησε] 'came to apprehend,' 'learned to know,' stronger than νοῆσαι.

11–12. ὁ φθόνος] For the idea cp. *infra* τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ γεννήσας τὸν φθόνον. There is similar language on φθόνος in *de Vita Moysis* p. 409 (Migne). The whole passage is doubtless traceable to Wisdom ii 23, 24.

12. ὁμολογ.] The first cause of anything is responsible for all the consequences flowing from it. So

μετ' αὐτὴν κατὰ τὸ ἀκόλουθον ἐπισυμβαινόντων αἰτίαν εἶναι, οἷον τῇ ὑγείᾳ τὸ εὐεκτεῖν, τὸ ἐργάζεσθαι, τὸ καθ' ἡδονὴν βιοτεύειν· τῇ δὲ νόσῳ τὸ ἀσθενεῖν, τὸ ἀνενέργητον εἶναι, τὸ ἐν ἀηδίᾳ τὴν ζωὴν ἔχειν. οὕτω καὶ τὰ ἄλλα πάντα ταῖς οἰκείαις ἀρχαῖς κατὰ τὸ ἀκόλουθον ἕπεται. ὥσπερ οὖν ἡ ἀπάθεια τῆς κατ' ἀρετὴν ζωῆς ἀρχὴ καὶ ὑπόθεσις γίνεται, οὕτως ἡ διὰ τοῦ φθόνου γενομένη πρὸς κακίαν ῥοπὴ τῶν μετ' αὐτὴν πάντων ἀναδειχθέντων κακῶν ὁδὸς κατέστη. ἐπειδὴ γὰρ ἅπαξ πρὸς τὸ κακὸν τὴν ῥοπὴν ἔσχεν ὁ τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ γεννήσας τὸν φθόνον, ὥσπερ λίθος ἀκρωρείας ἀπορραγεὶς ὑπὸ τοῦ ἰδίου βάρους πρὸς τὸ πρανὲς συνελαύνεται, οὕτω κἀκεῖνος, τῆς πρὸς τὸ ἀγαθὸν συμφυίας ἀποσπασθεὶς καὶ πρὸς κακίαν βρίσας, αὐτομάτως οἷόν τινι βάρει πρὸς τὸν ἔσχατον τῆς πονηρίας ὅρον συνωσθεὶς ἀπηνέχθη, καὶ τὴν διανοητικὴν δύναμιν, ἣν εἰς συνέργειαν τῆς τοῦ κρείττονος μετουσίας ἔσχε παρὰ τοῦ κτίσαντος, ταύτην εἰς εὕρεσιν τῶν κατὰ κακίαν ἐπινοουμένων συνεργὸν ποιησάμενος,

1 μετ αυτην κατα] μεθ εαυτην l vulg μετα (om αυτην κατα) d ‖ 3–4 το ανεν....ζωην εχειν desunt in h ‖ 7–8 ουτως...κακιαν ροπη desunt in h ‖ γινομενη l γεγενημενη f ‖ 8 ροπη] ορμη f ‖ μεθ εαυτην l vulg ‖ κακων] των κακων f ‖ 14 βρισας] βαρησας και κατανευσας l vulg ‖ 16 εις συνεργειαν] om εις fh την συνεργειαν el vulg συνεργιαν dnp ‖ του κρειττονος] om του f

the inclination to vice resulting from the envy displayed by the devil was responsible for the train of evils which followed.

2. τῇ ὑγείᾳ] We must supply some such word as ἕπεται which occurs in the following sentence. As on health there follows a good bodily condition (τὸ εὐεκτεῖν), activity, and an enjoyable life, while disease is followed by weakness, inactivity, and lack of enjoyment, so other results follow in natural sequence their own proper causes.

6. ἀπάθεια] '*freedom from passion.*' Cp. *antea* c. 5.

11. ὥσπερ λίθος] '*just as a rock, breaking away from the ridge of a mountain, is carried headlong by its own weight.*'

13. συμφυίας] '*torn away from his natural affinity to good.*'

15–16. τὴν διανοητικὴν δύναμιν] 'the faculty of mind.' Διάνοια, as distinguished from νοῦς, is 'the process of rational thought,' while νοῦς is the intuitive and speculative reason. See Westcott on 1 John v 20. '*The faculty of mind, which he received from the Creator in order that he might cooperate with Him in imparting good* (i.e. to the creatures under him), *he employed to assist him in discovering evil devices.*'

εὐμηχάνως περιέρχεται δι' ἀπάτης τὸν ἄνθρωπον, αὐτὸν ἑαυτοῦ γενέσθαι πείσας φονέα τε καὶ αὐτόχειρα. ἐπειδὴ γὰρ διὰ τῆς θείας εὐλογίας δυναμωθεὶς ὁ ἄνθρωπος ὑψηλὸς μὲν ἦν τῷ ἀξιώματι· βασιλεύειν γὰρ ἐτάχθη τῆς γῆς τε καὶ τῶν ἐπ' αὐτῆς πάντων· καλὸς δὲ τὸ εἶδος· ἀπεικόνισμα γὰρ τοῦ ἀρχετύπου ἐγεγόνει κάλλους· ἀπαθὴς δὲ τὴν φύσιν· τοῦ γὰρ ἀπαθοῦς μίμημα ἦν· ἀνάπλεως δὲ παρρησίας, αὐτῆς κατὰ πρόσωπον τῆς θείας ἐμφανείας κατατρυφῶν· ταῦτα δὲ τῷ ἀντικειμένῳ τοῦ κατὰ τὸν φθόνον πάθους ὑπεκκαύματα ἦν· ἰσχύι δέ τινι καὶ βίᾳ δυνάμεως κατεργάσασθαι τὸ κατὰ γνώμην οὐχ οἷός τε ἦν· ὑπερίσχυε γὰρ ἡ τῆς εὐλογίας τοῦ θεοῦ δύναμις τῆς τούτου βίας· διὰ τοῦτο ἀποστῆσαι τῆς ἐνισχυούσης αὐτὸν δυνάμεως μηχανᾶται, ὡς ἂν εὐάλωτος αὐτῷ πρὸς τὴν ἐπιβουλὴν κατασταίη. καὶ ὥσπερ ἐπὶ λύχνου τοῦ πυρὸς τῆς θρυαλλίδος περιδεδραγμένου, εἴ τις ἀδυνατῶν τῷ φυσήματι σβέσαι τὴν φλόγα ὕδωρ ἐμμίξειε τῷ ἐλαίῳ

1 διερχεται l vulg || 2 πεισας γενεσθαι l vulg || 5 αυτη f || 16 επιδεδραγμενου f || 17 εμφυσηματι d || 17—p. 37. 1 υδωρ...φλογα om h || ενμιξειεν f εμμιξει εν l vulg εμμιξει g εμμιξας e || ελαιω]+και fln

1. περιέρχεται] '*circumvents*,' '*overreaches*.'

2–3. ἐπειδὴ γάρ] The clause introduced by ἐπειδή is broken up by a series of parentheses. The apodosis of the sentence begins with διὰ τοῦτο ἀποστῆσαι. In what follows Gr. shows how the capacities and privileges bestowed upon man by God excited the envy of the adversary and led him to plot for man's ruin.

4. ἀξιώματι] 'rank,' 'position.'

ib. βασιλεύειν] Gen. i 28—30.

6. ἀπαθής] See note on ἀπάθεια c. 5.

8. παρρησίας] Παρρ. denotes the 'giving utterance to every thought and feeling and wish.' Cp. Heb. iv 16 (with Westcott's note), x 19, 35.

ib. τῆς θείας ἐμφ.] based on the narrative of Gen. iii.

9. κατατρυφῶν] '*revelling in the manifestation of Deity even face to face*.'

ib. ταῦτα δέ] '*and since this served as fuel*.' The sentence forms part of the protasis begun by ἐπειδή.

10–11. βίᾳ δυνάμεως] '*violent exercise of power*,' '*main force*.'

14. εὐάλωτος] '*an easy prey to his plotting*.'

15. καὶ ὥσπερ] What the adversary could not accomplish by force he attempted by craft, mingling evil with man's will. '*And as in the case of a lamp, when the flame has caught the wick, if any one, being unable to blow out the flame, mixes water with the oil, he will by this device render the flame dull*.'

16. περιδεδραγμ.] '*grasped*,' '*laid hold of*.'

διὰ τῆς ἐπινοίας ταύτης ἀμαυρώσει τὴν φλόγα, οὕτως δι' ἀπάτης τῇ προαιρέσει τοῦ ἀνθρώπου τὴν κακίαν ἐμμίξας ὁ ἀντικείμενος σβέσιν τινὰ καὶ ἀμαύρωσιν τῆς εὐλογίας ἐποίησεν, ἧς ἐπιλειπούσης ἐξ ἀνάγκης τὸ ἀντικείμενον ἀντεισέρχεται. ἀντίκειται δὲ τῇ ζωῇ μὲν ὁ θάνατος, ἡ ἀσθένεια δὲ τῇ δυνάμει, τῇ εὐλογίᾳ δὲ ἡ κατάρα, τῇ παρρησίᾳ δὲ ἡ αἰσχύνη καὶ πᾶσι τοῖς ἀγαθοῖς τὰ κατὰ τὸ ἐναντίον νοούμενα. διὰ τοῦτο ἐν τοῖς παροῦσι κακοῖς ἐστὶ νῦν τὸ ἀνθρώπινον, τῆς ἀρχῆς ἐκείνης τοῦ τοιούτου τέλους τὰς ἀφορμὰς παρασχούσης.

7. Καὶ μηδεὶς ἐρωτάτω, εἰ προειδὼς τὴν ἀνθρωπίνην συμφορὰν ὁ θεὸς τὴν ἐκ τῆς ἀβουλίας αὐτῷ συμβησομένην ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, ᾧ τὸ μὴ γενέσθαι μᾶλλον ἴσως ἢ τὸ ἐν κακοῖς εἶναι λυσιτελέστερον ἦν. ταῦτα γὰρ οἱ τοῖς Μανιχαικοῖς δόγμασι δι' ἀπάτης παρασυρέντες εἰς σύστασιν τῆς ἑαυτῶν πλάνης προβάλ-

5 επεισερχεται g^1 || 9 om του l vulg **7.** 14 ειναι] γενεσθαι f || 15–16 δι απ....συστασιν om f

3. σβέσιν] '*succeeded in extinguishing and obscuring in a way* (τινά) *the Divine blessing.*'

4–5. τὸ ἀντικείμενον] sc. τῇ εὐλογίᾳ. The term is explained in the following sentence.

9. τῆς ἀρχῆς] i.e. the φθόνος of the Devil which he has been describing.

10. τὰς ἀφορμάς] Cp. c. 5 p. 26 (note).

7. *In this and in the following chapter Gr. deals at length with the objection* '*Why did God create man, if He foresaw the evils which would result from his fall? How was such an act consistent with goodness?*' *In answering this objection Gr. first of all draws a distinction between the two senses in which the word evil is used with reference to man. There is physical evil i.e. the pain resulting from suffering and sickness, and there is moral evil i.e. wickedness. The latter alone deserves the name of evil. Moral evil consists in the loss of good, and has no substantive existence. Neither can God be its author, for He is the source of positive good, and it is only man's self-will in withdrawing from good, which constitutes evil.*

11. εἰ προειδώς] The emphasis of the sentence rests on the participle. '*Whether God foresaw the calamity...when He came to create man.*'

12. ἀβουλίας] cf. 6 *init.* τῆς κατὰ τὴν βουλὴν διαμαρτίας. Αὐτῷ anticipates τὸν ἄνθρωπον.

15. οἱ τοῖς Μανιχαικοῖς] '*they who have been deceived and led away by the doctrines of the Manichees.*' The evils of man's present condition might be urged to prove that the Author of man's being was not good. Acc. to the Manichaeans the creation of man was due to the prince of darkness. See Harnack *Hist. of Dogma*, Eng. Tr. iii 325.

λουσιν, ὡς διὰ τούτου πονηρὸν εἶναι τὸν τῆς ἀνθρωπίνης φύσεως κτίστην ἀποδεικνύοντες. εἰ γὰρ ἀγνοεῖ μὲν τῶν ὄντων οὐδὲν ὁ θεός, ἐν κακοῖς δὲ ὁ ἄνθρωπος, οὐκέτ' ἂν ὁ τῆς ἀγαθότητος τοῦ θεοῦ διασώζοιτο λόγος, εἴπερ ἐν κακοῖς μέλλοντα τὸν ἄνθρωπον ζήσεσθαι πρὸς τὸν βίον παρήγαγεν. εἰ γὰρ ἀγαθῆς φύσεως ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια πάντως ἐστίν, ὁ λυπηρὸς οὗτος καὶ ἐπίκηρος βίος οὐκέτ' ἄν, φησίν, εἰς τὴν τοῦ ἀγαθοῦ δημιουργίαν ἀνάγοιτο, ἀλλ' ἕτερον χρὴ τῆς τοιαύτης ζωῆς αἴτιον οἴεσθαι, ᾧ πρὸς πονηρίαν ἡ φύσις ἐπιρρεπῶς ἔχει. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τοῖς μὲν ἐν βάθει καθάπερ τινὰ δευσοποιὸν βαφὴν τὴν αἱρετικὴν παραδεδεγμένοις ἀπάτην ἰσχύν τινα διὰ τῆς ἐπιπολαίου πιθανότητος ἔχειν δοκεῖ· τοῖς δὲ διορατικωτέροις τῆς ἀληθείας σαθρὰ ὄντα καὶ πρόχειρον τὴν τῆς ἀπάτης ἀπόδειξιν ἔχοντα σαφῶς καθορᾶται. καί μοι δοκεῖ καλῶς ἔχειν τὸν ἀπόστολον ἐν τούτοις συνήγορον τῆς κατ' αὐτῶν κατηγορίας προστήσασθαι. διαιρεῖ γὰρ ἐν τῷ πρὸς Κορινθίους λόγῳ τάς τε σαρκώδεις καὶ τὰς πνευματικὰς τῶν ψυχῶν καταστάσεις, δεικνύς, οἶμαι, διὰ

1 τουτων fl τουτο vulg || 3 ο θεος ουδεν l vulg || 6 om το f vulg || 7 λυπηρος] οδυνηρος f || 9 ω] ου ehn o p || 10 παντα γαρ ταυτα e || 11 δευσοπ.] ψευδοποιον l* vulg || 12 αναιρετικην h || 13 επιπολου f || 17 κατ αυτον l vulg || παρηγοριας l*vid vulg || συστησασθαι f || διαιρειται f || 18–19 και τας πν.] και τας ψυχικας καταστασεις e

4. λόγος] 'the doctrine of the goodness of God.'

6. εἰ γὰρ ἀγαθῆς] '*For if activity in good is the characteristic of a nature that is good.*'

8. ἀνάγοιτο] '*traced back*,' '*referred.*'

9. ἕτερον] e.g. such as the Manichaean evil principle.

11. τοῖς μέν] '*to those who are deeply tinged with the deceit of heresy, as with some indelible dye.*' For ἐν βάθει cp. c. 8 τὴν ἐν βάθει... γενομένην πρὸς τὸ κακὸν οἰκειότητα. Δευσ. is found in Plat. *Rep.* 429 E —430 A, a passage which Gr. may have had in mind, as it contains a similar comparison to that of the present passage and concludes ἵνα δευσοποιὸς αὐτῶν ἡ δόξα γίγνοιτο.

14. σαθρά] lit. 'rotten,' 'unsound.' Hence '*ineffective*,' '*weak.*' Πρόχειρον, '*afford a ready proof of their fallacious character.*'

17. προστήσασθαι] '*to put forward the Apostle in these matters as supporting us in our condemnation of them.*' The *gen.* κατηγορίας is governed by συνήγορον.

18. πρὸς Κορ.] 1 Cor. ii 14—15.

19. καταστάσεις] '*dispositions*' or '*conditions.*'

τῶν λεγομένων, ὅτι οὐ δι' αἰσθήσεως τὸ καλὸν ἢ τὸ κακὸν κρίνειν προσήκει, ἀλλ' ἔξω τῶν κατὰ τὸ σῶμα φαινομένων τὸν νοῦν ἀποστήσαντας, αὐτὴν ἐφ' ἑαυτῆς τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου διακρίνειν τὴν φύσιν. ὁ γὰρ πνευματικός, φησίν, ἀνακρίνει τὰ πάντα. ταύτην οἶμαι τὴν αἰτίαν τῆς τῶν δογμάτων τούτων μυθοποιίας τοῖς τὰ τοιαῦτα προφέρουσιν ἐγγεγενῆσθαι, ὅτι πρὸς τὸ ἡδὺ τῆς σωματικῆς ἀπολαύσεως τὸ ἀγαθὸν ὁριζόμενοι διὰ τὸ πάθεσι καὶ ἀρρωστήμασιν ὑποκεῖσθαι κατ' ἀνάγκην τὴν τοῦ σώματος φύσιν σύνθετον οὖσαν καὶ εἰς διάλυσιν ῥεοῦσαν, ἐπακολουθεῖν δέ πως τοῖς τοιούτοις παθήμασιν ἀλγεινήν τινα αἴσθησιν, πονηροῦ θεοῦ τὴν ἀνθρωποποιίαν ἔργον εἶναι νομίζουσιν. ὡς εἴγε πρὸς τὸ ὑψηλότερον ἔβλεπεν αὐτοῖς ἡ διάνοια, καὶ τῆς περὶ τὰς ἡδονὰς διαθέσεως τὸν νοῦν ἀποικίσαντες ἀπαθῶς ἐπεσκόπουν

2 προσηκει κρινειν l vulg || 3 αποστησαντα l vulg || αφ εαυτ. f || 4 του εναντ.] om του f || ο γαρ] ο δε f || 5 διακρινει f || 7 προσφερουσιν g^{1}lp || γεγενησθαι e αν γεγενησθαι vulg || 11 om πως d || 12 om θεου l* vulg

1. *δι' αἰσθήσεως*] It is not by 'sense perception' that good and evil are judged. The intelligence (*νοῦς*) must be withdrawn from bodily phenomena (*τῶν κατὰ τὸ σῶμα φαιν.*) and discern in its own distinctive character (*αὐτὴν ἐφ' ἑαυτῆς*) the nature of good and the opposite.

6. *μυθοποιίας*] Cp. *prol.* *τὰς ἠπατημένας περὶ τῶν δογμάτων μυθοποιίας.*

7. *ἐγγεγενῆσθαι*] '*This, I suppose, was the cause of the fabrication of these fabulous doctrines in the case of those who put forward such views.*' Ἐγγίγνεσθαι is used in the sense of *inesse* or *innasci*. Cf. Xen. *Comm.* I. 2. 21 *τοῖς ἀμελοῦσι λήθην ἐγγινομένην.*

ib. *ὅτι πρὸς τό*] Krab.'s punctuation is bad here. Ὅτι governs *νομίζουσιν*, while *ἐπακολ.* is closely attached to *ὑποκεῖσθαι* and belongs to *διὰ τό.*

ib. *πρὸς τὸ ἡδύ*] '*defining good with reference to the pleasure of bodily enjoyment.*' Σωμ. is contrasted with the *πνευματικός* in the quotation.

9. *πάθεσι καὶ ἀρρωστήμασιν*] Here both words are used of bodily ailments. In c. 8 Gr. speaks of *τὰ τῆς ψυχῆς ἀρρωστήματα.* In this latter sense the word *ἀρρώστημα* was employed by the Stoics and is defined by Cicero *Tusc.* iv 10.

13. *ὡς εἴγε*] '*Since if their thought had turned its gase in a loftier direction, and if, separating the intelligence from the disposition to care about pleasures, they had contemplated, free from the influence of the passions, the nature of existing things.*' On the words *διάνοια* and *νοῦς* see *antea* c. 6 p. 35.

τὴν τῶν ὄντων φύσιν, οὐκ ἂν ἄλλο τι κακὸν εἶναι παρὰ τὴν πονηρίαν ᾠήθησαν. πονηρία δὲ πᾶσα ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει χαρακτηρίζεται, οὐ καθ' ἑαυτὴν οὖσα, οὐδὲ καθ' ὑπόστασιν θεωρουμένη· κακὸν γὰρ οὐδὲν ἔξω προαιρέσεως ἐφ' ἑαυτοῦ κεῖται, ἀλλὰ τῷ μὴ εἶναι τὸ ἀγαθὸν οὕτω κατονομάζεται. τὸ δὲ μὴ ὂν οὐχ ὑφέστηκε, τοῦ δὲ μὴ ὑφεστῶτος δημιουργὸς ὁ τῶν ὑφεστώτων δημιουργὸς οὐκ ἔστιν. οὐκοῦν ἔξω τῆς τῶν κακῶν αἰτίας ὁ θεὸς ὁ τῶν ὄντων, οὐχ ὁ τῶν μὴ ὄντων ποιητὴς ὤν· ὁ τὴν ὅρασιν, οὐ τὴν πήρωσιν δημιουργήσας· ὁ τὴν ἀρετήν, οὐ τὴν στέρησιν αὐτῆς ἀναδείξας· ὁ ἆθλον τῆς προαιρέσεως τὸ τῶν ἀγαθῶν γέρας τοῖς κατ' ἀρετὴν πολιτευομένοις προθείς, οὐκ ἀνάγκῃ τινὶ βιαίᾳ πρὸς τὸ ἑαυτῷ δοκοῦν ὑποζεύξας τὴν ἀνθρωπίνην φύσιν, καθάπερ τι σκεῦος ἄψυχον ἀκουσίως πρὸς τὸ καλὸν ἑφελκόμενος. εἰ δὲ τοῦ φωτὸς ἐξ αἰθρίας καθαρῶς περιλάμποντος ἑκουσίως τις

5 υφ εαυτου g*p η αφ ε. f || το μη ειναι p || 5–6 το αγαθον] om το f || 11 ο αθλον] om ο fl vulg || 12 γερας] περας l*vid vulg || 13 προσθεις deghnp || 15 εμψυχον vulg || 16 επιλαμποντος e

1. οὐκ ἂν ἄλλο] The principle that moral evil is alone κακόν is a leading thought of Gr. throughout the present treatise. Cp. c. 9 where he argues that the Incarnation was no degradation to God, for only moral evil can bring degradation. Similarly in cc. 15 and 16 he says that it was physical, not moral weakness which Christ took upon Him. The Divine goodness was unchanged by the Incarnation, for the only thing that could have changed it would have been the participation in vice. The conception, which is also found in Origen, has its roots in the importance assigned by both Origen and Gr. to the will, as the seat of evil. So in the present chapter Gr. says κακὸν γὰρ οὐδὲν ἔξω προαιρέσεως ἐφ' ἑαυτοῦ κεῖται.

3. χαρακτηρίζεται] '*The characteristic feature of all wickedness is to be found in the deprivation of good.*

5. τῷ μὴ εἶναι] '*but it receives its name from the non-existence of the good.*'

6. τὸ δὲ μὴ ὄν] In what follows Gr. urges that God is the Creator of that which exists positively. That which is a mere negation of existence, such as evil has been defined to be, cannot be attributed to Him.

11. ὁ ἆθλον] The effect of this view of the relation of evil to man's free-will is to make the enjoyment of Divine blessings the reward of virtue.

ὑποβάλοι τοῖς βλεφάροις τὴν ὅρασιν, ἔξω τῆς τοῦ μὴ βλέποντος αἰτίας ὁ ἥλιος.

8. Ἀλλ' ἀγανακτεῖ πάντως ὁ πρὸς τὴν διάλυσιν βλέπων τοῦ σώματος, καὶ χαλεπὸν ποιεῖται τῷ θανάτῳ τὴν ζωὴν ἡμῶν διαλύεσθαι, καὶ τοῦτό φησι τῶν κακῶν ἔσχατον εἶναι, τὸ τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι. οὐκοῦν ἐπισκεψάσθω διὰ τοῦ σκυθρωποῦ τούτου τὴν ὑπερβολὴν τῆς θείας εὐεργεσίας· τάχα γὰρ ἂν μᾶλλον διὰ τούτων προσαχθείη θαυμάσαι τὴν χάριν τῆς περὶ τὸν ἄνθρωπον τοῦ θεοῦ κηδεμονίας. τὸ ζῆν διὰ τὴν τῶν καταθυμίων

1 υποβαλλοι p επιβαλοι (-βαλλ- l vulg) efg^1 αποβαλοι (-βαλλ- hn) d || **8.** 3 διαλυσιν] αναλ. l^{*vid} vulg || 5–6 και τουτο...σβεννυσθαι om l* vulg || 8 μαλλον αν deghnp || τουτου l* vulg || 9 προσενεχθειη e προαχθειη g^{2}l^1 || 10 om των vulg

1. ὑποβάλοι] cp. *antea* c. 6 p. 34 (note).

1–2. ἔξω τῆς...αἰτίας] '*is free from blame on the part of him who fails to see.*' For ἔξω τῆς αἰτίας cp. c. 8.

8. *Gr. is still discussing the objection stated in the previous chapter. One of the evils of man's present condition, it is urged, is the prevalence of physical death. In reply Gr. maintains that the dissolution of the body was really a merciful provision made by God after man's fall in order to undo its effects. The coats of skin in Genesis indicate mystically this truth. As it was into the sentient (i.e. bodily) part of man that the poison of evil was received, so it was fitting that that part should be dissolved in order that it might be remoulded by the resurrection. Gr. illustrates his meaning by the simile of an earthen vessel, which some ill-disposed person renders useless by filling it with molten lead, but which the potter, in order to remove the lead, breaks up with a view to remodelling it.*

The dissolution of the body, however, does not affect the soul. That too has been stained by sin, and it too has its appointed remedies, the practice of virtue in this life, the sifting judgment and painful discipline of purification in the after-life. Thus God not only foresaw man's fall, but provided for its remedy. It was better to restore man by penitence and suffering than never to have created him at all. The work of restoration was a task possible and fitting for Him alone who had created man. And so He who was man's Creator became also his Deliverer.

5–6. ζωὴν...βίον] By the 'dissolution' of the ζωή Gr. refers to the dissolution in death of the component parts of man's nature. By the extinction of the βίος he means the cessation of the outward activities of the life.

7. τοῦ σκυθρωποῦ] '*this dismal-looking necessity.*'

8. εὐεργεσίας] Death, as Gr. proceeds to show, was a beneficent provision made by God, after man's fall, to enable the body to escape from the consequences of the Fall.

10. καταθυμίων] = 'acceptable,' 'pleasing.' Cp. c. 5.

ἀπόλαυσιν αἱρετόν ἐστι τοῖς τοῦ βίου μετέχουσιν. ὡς εἴ γέ τις ἐν ὀδύναις διαβιώῃ, παρὰ πολὺ τῷ τοιούτῳ τὸ μὴ εἶναι τοῦ ἀλγεινῶς εἶναι προτιμότερον κρίνεται. οὐκοῦν ἐξετάσωμεν εἰ ὁ τῆς ζωῆς χορηγὸς πρὸς ἄλλο τι βλέπει, καὶ οὐχ ὅπως ἂν ἐν τοῖς καλλίστοις βιώῃμεν. ἐπειδὴ γὰρ τῷ αὐτεξουσίῳ κινήματι τοῦ κακοῦ τὴν κοινωνίαν ἐπεσπασάμεθα, διά τινος ἡδονῆς οἷόν τι δηλητήριον μέλιτι παραρτυθὲν τῇ φύσει τὸ κακὸν καταμίξαντες, καὶ διὰ τοῦτο τῆς κατὰ τὸ ἀπαθὲς νοουμένης μακαριότητος ἐκπεσόντες, πρὸς τὴν κακίαν μετεμορφώθημεν, τούτου ἕνεκεν οἷόν τι σκεῦος ὀστράκινον πάλιν ὁ ἄνθρωπος εἰς γῆν ἀναλύεται, ὅπως ἂν τῆς νῦν ἐναπειλημμένης αὐτῷ ῥυπαρίας ἀποκριθείσης εἰς τὸ ἐξ ἀρχῆς σχῆμα διὰ τῆς ἀναστάσεως ἀναπλασθείη. τὸ δὲ τοιοῦτον δόγμα ἱστορικώτερον μὲν

4 βλεπη vulg ‖ 7 εξεσπασαμεθα l^{*vid} vulg ‖ 8 παραμιξαντες d ‖ 12 απειλημμ. dghnp απειλημ. e ‖ 14 αναπλασθειη] + ει γε το κατ εικονα εν τη παρουση ζωη διεσωσατο deghl^{1}np

7. ἐπεσπασάμεθα] Used here in the sense of 'acquire,' 'contract.' '*We brought upon ourselves.*'

ib. διά τινος] '*by some indulgence in pleasure mingling evil with our nature like some deadly potion sweetened with honey.*'

9. κατὰ τὸ ἀπαθὲς νοουμένης] '*the blessedness which the mind associates with freedom from passion.*'

12. ὅπως ἄν] '*in order that the foulness which is now included in his nature may be separated out, and he may be restored by the resurrection to his original form.*' After these words one group of MSS insert the words εἴ γε τὸ κατ' εἰκόνα ἐν τῇ παρούσῃ ζωῇ διεσώσατο, and Krabinger has given them a place in the text. But the words are not found in the MSS *f*, *l*, and they have a suspicious ring, introducing an idea which is not appropriate to the context. They are probably a later addition to the text, their object being to guard against an Universalistic interpretation of the passage.

14. ἱστορικ.] '*after the manner of history and in veiled language.*' For αἰνιγμα cp. Numb. xii 8 (LXX) στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων. Cp. also 1 Cor. xiii 12. This passage is another instance of Gr.'s use of the allegorical interpretation of Scripture. Cp. *antea* c. 2 (note on ἀναγωγικῶς) and c. 5. The ref. is to Gen. iii 21. This interpretation of the coats of skin is found in Methodius *de Resurr.* i. 37 (ed. Bonw. p. 130) and still earlier in Clement of Alexandria (*Strom.* iii 14) and Origen (*c. Cels.* iv 40, *in Lev. Hom.* vi 2). It appears to have been derived from the Gnostics. See Iren. *c. Haer.* 1. 5. 5; Tert. *de Res. Carnis* 7. Its ultimate source was Rabbinic. Cp. Bigg *Christian Platonists*, p. 204 note. Gregory of Nazianzus (*Or.* xxxviii p. 670 D) also makes use of it.

καὶ δι' αἰνιγμάτων ὁ Μωσῆς ἡμῖν ἐκτίθεται. πλὴν ἔκδηλον καὶ τὰ αἰνίγματα τὴν διδασκαλίαν ἔχει. ἐπειδὴ γάρ, φησίν, ἐν τοῖς ἀπηγορευμένοις ἐγένοντο οἱ πρῶτοι ἄνθρωποι καὶ τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν, δερματίνους ἐπιβάλλει χιτῶνας τοῖς πρωτοπλάστοις ὁ κύριος· οὗ μοι δοκεῖ πρὸς τὰ τοιαῦτα δέρματα τοῦ λόγου τὴν διάνοιαν φέρων· ποίων γὰρ ἀποσφαγέντων τε καὶ δαρέντων ζῴων ἐπινοεῖται αὐτοῖς ἡ περιβολή; ἀλλ', ἐπειδὴ πᾶν δέρμα χωρισθὲν τοῦ ζῴου νεκρόν ἐστι, πάντως οἶμαι τὴν πρὸς τὸ νεκροῦσθαι δύναμιν, ἣ τῆς ἀλόγου φύσεως ἐξαίρετος ἦν, ἐκ προμηθείας μετὰ ταῦτα τοῖς ἀνθρώποις ἐπιβεβληκέναι τὸν τὴν κακίαν ἡμῶν ἰατρεύοντα, οὐχ ὡς εἰς ἀεὶ παραμένειν· ὁ γὰρ χιτὼν τῶν ἔξωθεν ἡμῖν ἐπιβαλλομένων ἐστί, πρὸς καιρὸν τὴν ἑαυτοῦ χρῆσιν παρέχων τῷ σώματι, οὐ συμπεφυκὼς τῇ φύσει. οὐκοῦν ἐκ τῆς τῶν ἀλόγων φύσεως ἡ νεκρότης οἰκονομικῶς περι-

1 ημιν] υμιν vulg ‖ 7 φερων] φερειν gp ‖ om τε el ‖ 12 om τον e ‖ 13 εις αει] αει h ‖ 15 του σωματος vulg ‖ 16 οικονομ. η νεκ. g

3. ἐν τοῖς ἀπ.] '*became involved in what was forbidden.*'

4. ἀπεγυμν.] The δερμάτινος χιτών takes the place of the ἀπάθεια.

5. πρωτοπλάστοις] a word applied to the first man in Wisd. vii 1, x 1.

6. οὗ μοι δοκεῖ] '*not, I think, intending to apply the sense of the word to these literal skins.*' Φέρων belongs to the subject of φησίν, i.e. Μῶσης, δοκεῖ being parenthetical.

8–9. ἀλλ', ἐπειδή] The skins, acc. to Gr., represent that capacity of dying, which was the peculiar characteristic of the irrational nature. In *de An. et Resurr.* p. 148 (Migne) Gr. explains δέρμα as τὸ σχῆμα τῆς ἀλόγου φύσεως, ᾧ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν. In *de Virg.* c. 12 the coats of skin are τὸ φρόνημα τῆς σαρκός. Cp. *de Mortuis* iii p. 524 (Migne).

13. εἰς ἀεὶ παραμένειν] Acc. to Gr. the first man had received the blessing of immortality and incorruption. Cp. c. 5. Cp. also *de Hom. Op.* c. 4, *de Vita Moysis* p. 397 (Migne). Hence he says below of the χιτών that it was οὐ συμπεφυκὼς τῇ φύσει. Death is a temporary provision, a 'coat' with which man is invested for a time.

16. οἰκονομικῶς] here opposed to that which naturally belongs to man. Death was assigned to man by way of 'accommodation' to his circumstances. Cp. for this use of οἰκονομικῶς *in Christi Resurr. Or.* ii p. 649 (Migne) ἃ γὰρ εἶχε φυσικῶς ὡς θεός, ταῦτα λέγεται λαμβάνειν ὡς γενόμενος ἄνθρωπος οἰκονομικῶς. See further Suicer *Thesaurus*.

ετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, τὸ ἔξωθεν αὐτῆς περικαλύπτουσα, οὐ τὸ ἔσωθεν, τὸ αἰσθητὸν τοῦ ἀνθρώπου μέρος διαλαμβάνουσα, αὐτῆς δὲ τῆς θείας εἰκόνος οὐ προσαπτομένη. λύεται δὲ τὸ αἰσθητόν, οὐκ ἀφανίζεται. ἀφανισμὸς μὲν γάρ ἐστιν ἡ εἰς τὸ μὴ ὂν μεταχώρησις· λύσις δὲ ἡ εἰς τὰ τοῦ κόσμου στοιχεῖα πάλιν, ἀφ' ὧν τὴν σύστασιν ἔσχε, διάχυσις. τὸ δὲ ἐν τούτοις γενόμενον οὐκ ἀπόλωλε, κἂν ἐκφεύγῃ τὴν κατάληψιν τῆς ἡμετέρας αἰσθήσεως. ἡ δὲ αἰτία τῆς λύσεως δήλη διὰ τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος. ἐπειδὴ γὰρ ἡ αἴσθησις πρὸς τὸ παχύ τε καὶ γήινον οἰκείως ἔχει, κρείττων δὲ καὶ ὑψηλοτέρα τῶν κατ' αἴσθησιν κινημάτων ἡ νοερὰ φύσις, διὰ τοῦτο τῆς περὶ τὸ καλὸν κρίσεως ἐν τῇ δοκιμασίᾳ τῶν αἰσθήσεων ἁμαρτηθείσης, τῆς δὲ τοῦ καλοῦ διαμαρτίας τὴν τῆς ἐναντίας ἕξεως ὑπόστασιν ἐνεργησάσης, τὸ ἀχρειωθὲν ἡμῶν μέρος τῇ παραδοχῇ τοῦ ἐναντίου λύεται. ὁ δὲ τοῦ ὑποδείγματος λόγος τοιοῦτός ἐστι. δεδόσθω τι σκεῦος ἐκ πηλοῦ συνεστηκέναι, τοῦτο δὲ πλῆρες ἔκ τινος ἐπιβουλῆς γεγενῆσθαι τετηκότος μολίβδου, τὸν δὲ μόλιβδον

2 και το αισθ. l vulg ‖ 2–3 μερος τ. ανθρ. f ‖ 7 διαλυσις efg¹hl ‖ 10 om ημιν d ‖ 11 παχυ τε] παχυτερον h ‖ 11–12 κρειττονος δ. κ. υψηλοτερας vulg ‖ 12–13 κατ αισθησιν...δια τουτο της om l* vulg ‖ 19 μολυβδου...μολυβδον dehn

1. τὸ ἔξωθεν] This garment of 'mortality' enfolded only the outward and sentient part of man. It did not affect the higher life which constituted the Divine image in man.

4. λύεται] The physical, sentient part of man only suffers dissolution. It does not cease to exist.

7. διάχυσις] 'diffusion.' The word has been altered by some MSS.

10. ὑποδείγματος] i.e. the σκεῦος ὀστράκινον spoken of above, an illustration which he develops in what follows.

10–11. τὸ παχύ] '*the gross and earthy element.*'

13. δοκιμασίᾳ] '*as it was by the arbitrament of the senses that our judgment about that which is good went astray.*'

14. διαμαρτίας] '*deviation from the good.*'

15. ἕξεως] '*state,*' '*condition.*'

ib. ἀχρειωθέν] '*disabled,*' '*rendered useless.*'

17. λόγος] 'the point of our illustration.' The same illustration occurs in Methodius *de Resurr.* i 44 (ed. Bonw. p. 146).

18. ἔκ τινος ἐπιβουλῆς] The filling of the vessel with lead is represented as an act of spite.

ἐγχεθέντα παγῆναι καὶ μένειν ἀπρόχυτον, ἀντιποιεῖσθαι δὲ τοῦ σκεύους τὸν κεκτημένον, ἔχοντα δὲ τοῦ κεραμεύειν τὴν ἐπιστήμην περιθρύψαι τῷ μολίβδῳ τὸ ὄστρακον· εἶθ' οὕτως πάλιν κατὰ τὸ πρότερον σχῆμα πρὸς τὴν ἰδίαν ἑαυτοῦ χρῆσιν ἀναπλάσαι τὸ σκεῦος, κενὸν τῆς ἐμμιχθείσης ὕλης γενόμενον. οὕτως οὖν καὶ ὁ τοῦ ἡμετέρου σκεύους πλάστης, τῷ αἰσθητικῷ μέρει, τῷ κατὰ τὸ σῶμά φημι, τῆς κακίας καταμιχθείσης, διαλύσας τὴν παραδεξαμένην τὸ κακὸν ὕλην, πάλιν ἀμιγὲς τοῦ ἐναντίου διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ἀναστοιχειώσει τὸ σκεῦος. ἐπειδὴ δὲ σύνδεσίς τις καὶ κοινωνία τῶν κατὰ ἁμαρτίαν παθημάτων γίνεται τῇ τε ψυχῇ καὶ τῷ σώματι, καί τις ἀναλογία τοῦ σωματικοῦ θανάτου πρὸς τὸν ψυχικόν ἐστι θάνατον· ὥσπερ γὰρ ἐν σαρκὶ τὸ τῆς αἰσθητῆς χωρισθῆναι ζωῆς προσαγορεύομεν

1 εγχυθεντα ehl[1] vulg εκχεθεντα f || απροχυτον] απροσχυτον l[*vid] vulg || 1–2 αντιποιεισθαι δε] om δε e || 3 μολυβδω dehn || 7 αισθητω l vulg || το κατα vulg || 12 αμαρτ.] την αμ. f

1. ἀπρόχυτον] a word not found in the Lexicons. The Paris editions read ἀπρόσχυτον, but all the best MSS support the text. '*So that it cannot be poured out.*'

ib. ἀντιποιεῖσθαι] '*lay claim to.*' The owner claims the vessel and, as he has some knowledge of the potter's art, breaks it up and remodels it. The vessel is represented as unbaked. It is still πηλός and can be broken up.

5. κενόν] In *Or. in funere Pulch.* p. 876 (Migne) Gr. says οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἐπ' ἀνθρώπων ὁ θάνατος, εἰ μὴ κακίας καθάρσιον.

11. ἀναστοιχειώσει] lit. 're-combine the elements of,' 're-form,' 'fashion afresh.' Cp. *Or. in funere Pulch.* p. 877 (Migne) τοῦτο γάρ ἐστιν ἡ ἀνάστασις, ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀναστοιχείωσις. The words ἀναμόρφωσις, μεταμόρφωσις, μετάθεσις, μεταβολή, μετατοίησις, μεταστοιχείωσις and ἀναστοιχείωσις are all used by Gr. to denote the restoration of human nature by Christ. Elsewhere Gr. applies the term ἀποθέωσις to this restoration. See *Or. Cat.* c. 37 συναποθεωθῇ τὸ ἀνθρώπινον.

ib. ἐπειδὴ κτλ.] The sentence is broken by a parenthesis ὥσπερ γάρ and resumed by ἐπεὶ οὖν. The apodosis begins with διὰ τοῦτο.

ib. σύνδεσις] For the idea cp. *de Hom. Opif.* c. 15 ἡ δὲ τοῦ νοῦ πρὸς τὸ σωματικὸν κοινωνία ἄφραστόν τε καὶ ἀνεπινόητον τὴν συνάφειαν ἔχει... πλὴν ὅτι κατὰ τὸν ἴδιον αὐτῆς εἱρμὸν εὐοδουμένης τῆς φύσεως, καὶ ὁ νοῦς ἐνεργὸς γίνεται. εἰ δέ τι πλημμέλημα περὶ ταύτην συμπέσοι, σκάζει κατ' ἐκεῖνο καὶ τῆς διανοίας ἡ κίνησις. See also note on ἀνάκρασις c. 6.

13. ψυχῇ] not used here in its N.T. sense, but as a general term for the higher faculties included in τὸ νοητόν and opposed to τὸ αἰσθητόν.

θάνατον, οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τὸν τῆς ἀληθοῦς ζωῆς χωρισμὸν θάνατον ὀνομάζομεν· ἐπεὶ οὖν μία τίς ἐστιν ἡ τοῦ κακοῦ κοινωνία, καθὼς προείρηται, ἐν ψυχῇ τε θεωρουμένη καὶ σώματι· δι' ἀμφοτέρων γὰρ πρόεισιν τὸ πονηρὸν εἰς ἐνέργειαν· διὰ τοῦτο ὁ μὲν τῆς διαλύσεως θάνατος ἐκ τῆς τῶν νεκρῶν δερμάτων ἐπιβολῆς τῆς ψυχῆς οὐχ ἅπτεται. πῶς γὰρ ἂν διαλυθείη τὸ μὴ συγκείμενον; ἐπεὶ δὲ χρεία τοῦ κἀκείνης τὰς ἐμφυείσας ἐξ ἁμαρτιῶν κηλῖδας διά τινος ἰατρείας ἐξαιρεθῆναι, τούτου ἕνεκεν ἐν μὲν τῇ παρούσῃ ζωῇ τὸ τῆς ἀρετῆς φάρμακον εἰς θεραπείαν τῶν τοιούτων προσετέθη τραυμάτων. εἰ δὲ ἀθεράπευτος μένοι, ἐν τῷ μετὰ ταῦτα βίῳ τεταμίευται ἡ θεραπεία. ἀλλ' ὥσπερ εἰσί τινες κατὰ τὸ σῶμα τῶν παθημάτων διαφοραί, ὧν αἱ μὲν ῥᾷον, αἱ δὲ δυσκολώτερον τὴν θεραπείαν προσίενται, ἐφ' ὧν καὶ τομαὶ καὶ καυτήρια καὶ

3 om η el vulg || 4–5 εις εν. τ. πονηρον l vulg || 8 επειδη δε g^1 om δε l vulg || 11 προετεθη dghnp || 11–12 αθεραπευτος μενοι] μενει g^*1 αθεραπευτοι μειναιεν f || 12 ταμιευεται l vulg (in d deletum) || 13 των παθ. κ. τ. σωμα e || 15 καυτηριαι degh

5. διαλύσεως] The *gen.* defines θάνατος, 'death consisting in dissolution.'

6. ἐκ τῆς ... ἐπιβ.] '*resulting from.*'

7. τὸ μὴ συγκ.] The soul is not composite like the body, and cannot be dissolved by death. Other remedies must therefore be provided for it.

10. τὸ τῆς ἀρετῆς φάρμακον] i.e. the influence of a virtuous life in remedying the disorder produced in man's nature by sin. The language of this and the following passages shows marked traces of the Platonic teaching on κάθαρσις. Gr. discusses the question of the purification of souls without any reference to the Christian doctrine of redemption, and, in this passage at least, seems to teach a purely moral improvement effected during the present life from within by the practice of virtue, and in the after-life by a purificatory discipline. Such teaching must of course be modified by his subsequent language in this book on the effects of the Incarnation and their application through Sacraments. For a further treatment of the κάθαρσις see cc. 26 and 35 (*sub fin.*). The influence of Origen may be traced throughout. See especially Orig. *de Princ.* ii 10. 4—6, iii 1. 14—17. For Plato's teaching see especially *Gorg.* 477—8, 525, *Prot.* 324 B, *Rep.* ii 380, ix 591 etc.

12. τεταμίευται] The reading ταμιεύεται is a correction found in inferior MSS. Ταμιεύειν here='to lay up in store.' The *perf.* indicates that God has laid it up already, though it is to be applied after judgment.

15. τομαὶ κτλ.] '*applications of*

πικραὶ φαρμακοποσίαι πρὸς τὴν ἀναίρεσιν τοῦ ἐνσκήψαντος τῷ σώματι πάθους παραλαμβάνονται, τοιοῦτόν τι καὶ ἡ μετὰ ταῦτα κρίσις εἰς θεραπείαν τῶν τῆς ψυχῆς ἀρρωστημάτων κατεπαγγέλλεται, ὃ τοῖς μὲν χαυνοτέροις ἀπειλὴ καὶ σκυθρωπῶν ἐστὶν ἐπανόρθωσις, ὡς ἂν φόβῳ τῆς τῶν ἀλγεινῶν ἀντιδόσεως πρὸς τὴν φυγὴν τῆς κακίας σωφρονισθείημεν· τοῖς δὲ συνετωτέροις ἰατρεία καὶ θεραπεία παρὰ τοῦ θεοῦ τὸ ἴδιον πλάσμα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγοντος χάριν εἶναι πιστεύεται. ὡς γὰρ οἱ τοὺς ἥλους τε καὶ τὰς ἀκροχορδόνας παρὰ φύσιν ἐπιγενομένας τῷ σώματι διὰ τομῆς ἢ καύσεως ἀποξύοντες οὐκ ἀνώδυνον ἐπάγουσι τῷ εὐεργετουμένῳ τὴν ἴασιν, πλὴν οὐκ ἐπὶ βλάβῃ τοῦ ὑπομένοντος τὴν τομὴν ἄγουσιν, οὕτως καὶ ὅσα ταῖς ψυχαῖς ἡμῶν διὰ τῆς τῶν παθημάτων κοινωνίας

2 παθους τ. σωματι l vulg || 4 αρρωστ.] αμαρτηματων f || 5 σκυθρ.] των σκ. e || επανορθ.] επαναστασις fl vulg || 10 om τε vulg || τας ακροχ.] τους el vulg || 10–11 επιγενομενους el vulg επιγινομενας dg*hnp || 13 επαγουσιν fg¹

the knife and caustics, and bitter draughts of medicine.'

3–4. ἡ μετὰ τ. κρίσις...κατεπ.] This shews that Gr. is not thinking of a purgatory between death and the judgment, but of one which follows upon that judgment.

4. ἀρρωστημάτων] See note c. 7 p. 39.

ib. τοῖς μὲν χαυνοτέροις] The thought of the painful discipline of the future acts as a deterrent to the 'more thoughtless.' By those who are 'more discerning' such discipline is believed to be remedial and restorative. Χαῦνος, 'porous,' 'spongy,' hence '*empty*,' '*frivolous*.'

5. σκυθρωπῶν ἐπ.] The *gen.* is subjective, 'a correction consisting in stern methods.' Similarly Origen (*c. Cels.* vii 70) speaks of οἱ δήμιοι ἐν ταῖς πόλεσι καὶ οἱ τεταγμένοι ἐπὶ τῶν σκυθρωπῶν μέν, ἀναγκαίων δὲ ἐν ταῖς πολιτείαις πραγμάτων.

7. σωφρονισθ.] '*we might be brought to our senses and induced to flee from vice.*'

9. ὡς γάρ] Such pains, like those inflicted by physicians, are remedial and beneficent in their aim. '*For just as those who remove by the knife or caustics moles and warts, which have come unnaturally upon the body, do not apply to him whom they benefit a method of healing that is painless.*' Similarly Origen says (*c. Cels.* v 15) Ὅτι δὲ οὐχ ὡς μάγειρόν φαμεν τὸ πῦρ ἐπιφέρειν τὸν Θεόν, ἀλλ' ὡς Θεὸν εὐεργέτην τῶν χρῃζόντων πόνου καὶ πυρὸς μαρτυρήσει καὶ ὁ προφήτης Ἡσαΐας.

14. ὅσα] '*whatever material excrescences become encrusted upon our souls when they have been rendered carnal through participation in the body's sufferings.*' For this sense of ἀποσαρκοῦν cf. Theophanes *Hom.* viii p. 269 (Migne) εἴ τις ὅλος δι' ὅλου ἀποσαρκωθείη τῇ διανοίᾳ. On the words πῶρος, πωροῦν see J. A.

ἀποσαρκωθείσαις ὑλώδη περιττώματα ἐπιπωροῦται, ἐν τῷ καιρῷ τῆς κρίσεως τέμνεταί τε καὶ ἀποξύεται τῇ ἀρρήτῳ ἐκείνῃ σοφίᾳ καὶ δυνάμει τοῦ, καθὼς λέγει τὸ εὐαγγέλιον, τοὺς κακοὺς ἰατρεύοντος. οὐ χρείαν γὰρ ἔχουσι, φησίν, οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. διὰ δὲ τὸ πολλὴν γεγενῆσθαι τῇ ψυχῇ πρὸς τὸ κακὸν συμφυίαν ὥσπερ ἡ τῆς μυρμηκίας τομὴ δριμύσσει τὴν ἐπιφάνειαν· τὸ γὰρ παρὰ φύσιν ἐμφυὲν τῇ φύσει διά τινος συμπαθείας τῷ ὑποκειμένῳ προσίσχεται, καί τις γίνεται τοῦ ἀλλοτρίου πρὸς τὸ ἡμέτερον παράλογος συνανάκρασις, ὡς λυπεῖσθαι καὶ δάκνεσθαι τοῦ παρὰ φύσιν χωριζομένην τὴν αἴσθησιν· οὕτω καὶ τῆς ψυχῆς ἀπολεπτυνομένης τε καὶ ἐκτηκομένης ἐν τοῖς ὑπὲρ τῆς ἁμαρτίας ἐλεγμοῖς,

2 περιτεμνεται d || om τε l vulg || 3 καθως λ. τ. ευαγγ. του l vulg || 4 κακους] κακως εχοντας fl vulg || om φησιν f || 5 υγιαινοντες] ισχυοντες l vulg || 6 γενεσθαι d || 13 ελεγχοις vulg

Robinson *Journal of Theol. Studies*, iii 9 p. 81 ff.

ib. παθημ.] Cp. *supra* κοινωνία τῶν κατὰ ἁμαρτίαν παθημάτων.

1–2. ἐν τῷ κ. τῆς κρ.] Probably Gr. based this teaching, as Origen did before him, on 1 Cor. iii 13.

3. λέγει] Luke v 31. The words are also found with the variation ἰσχύοντες (see v.l. here) in Mk ii 17, Mt ix 12.

6. συμφυίαν] Cp. *antea* c. 6.

7. μυρμηκίας] There is the following scholium on this word in the margin of the MSS *b* and *e*. Πάθος τι περὶ τὸ δέρμα τοῦ σώματος ἡμῶν γίνεται, ὃ μυρμηκία καλεῖται· σαρκώδης γάρ τις ἐπίφυσις μικρὰ ἐπανίσταται τῷ δέρματι, ἥτις δοκεῖ μὲν μέρος εἶναι τοῦ δέρματος, ὡς προσπεφυκυῖα αὐτῷ, οὐ μὴν κατὰ ἀλήθειαν οὕτως ἔχει, ὅθεν καὶ τὴν ἄρσιν πρὸς τὴν θεραπείαν ἐπιζητεῖ. τούτῳ ὑποδείγματι ἐχρήσατο πρὸς τὸ προκείμενον σφόδρα καταλλήλῳ. The word μυρμηκία occurs also in *de An. et Res.* p. 56 (Migne), where the same scholium is found. '*The excision of a wart gives a sharp sensation to the surface* (*of the body*).'

ib. ἐπιφάνειαν] '*surface.*' Cp. c. 23.

8. τὸ γὰρ παρὰ φύσιν] An explanation of the pain experienced at the amputation of such bodily excrescences. The means by which such an unnatural growth affects the subject, to which it is attached, is a kind of sympathy. The man feels for the alien growth as if it were really part of himself. While ἐμφυέν denotes the physical attachment, προσίσχεται denotes the relation which it bears to the personality.

12. ἀπολεπτ.] a paraphrase of Ps. xxxviii [xxxix] 12 LXX, where the phrases ἐξέτηξας and ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας occur.

καθώς πού φησιν ἡ προφητεία, διὰ τὴν ἐν βάθει γενομένην πρὸς τὸ κακὸν οἰκειότητα κατ' ἀνάγκην ἐπακολουθοῦσιν ἄρρητοί τινες καὶ ἀνέκφραστοι ἀλγηδόνες, ὧν ἡ διήγησις ἐκ τοῦ ἴσου τὸ ἄφραστον ἔχει τῇ τῶν ἐλπιζομένων ἀγαθῶν φύσει. οὔτε γὰρ ταῦτα, οὔτε ἐκεῖνα τῇ δυνάμει τῶν λόγων ἢ τῷ στοχασμῷ τῆς διανοίας ὑπάγεται. οὐκοῦν πρὸς τὸ πέρας τις ἀποσκοπῶν τῆς σοφίας τοῦ τὸ πᾶν οἰκονομοῦντος οὐκέτ' ἂν εὐλόγως κακῶν αἴτιον τὸν τῶν ἀνθρώπων δημιουργὸν ὑπὸ μικροψυχίας κατονομάζοι, ἢ ἀγνοεῖν αὐτὸν τὸ ἐσόμενον λέγων, ἢ εἰδότα καὶ πεποιηκότα μὴ ἔξω τῆς πρὸς τὸ πονηρὸν ὁρμῆς εἶναι. καὶ γὰρ ᾔδει τὸ ἐσόμενον καὶ τὴν πρὸς τὸ γινόμενον ὁρμὴν οὐκ ἐκώλυσεν· ὅτι γὰρ ἐκτραπήσεται τοῦ ἀγαθοῦ τὸ ἀνθρώπινον, οὐκ ἠγνόησεν ὁ πάντα ἐμπερικρατῶν τῇ γνωστικῇ δύναμει καὶ τὸ ἐφεξῆς τῷ παρῳχηκότι κατὰ τὸ ἴσον βλέπων. ἀλλ' ὥσπερ τὴν παρατροπὴν ἐθεάσατο, οὕτω καὶ τὴν ἀνάκλησιν αὐτοῦ πάλιν τὴν πρὸς τὸ ἀγαθὸν κατενόησε. τί οὖν ἄμεινον ἦν, καθ' ὅλου μὴ ἀγαγεῖν τὴν φύσιν ἡμῶν εἰς γένεσιν, ἐπειδὴ τοῦ καλοῦ διαμαρτήσεσθαι προεώρα τὸν γενησόμενον, ἢ ἀγαγόντα καὶ νενοσηκότα

1 φησιν που dfg || 6 των στοχασμων hnp τον στοχασμον l^1 vulg || 7 om της σοφιας f || 11 προς το πονηρον] πονηρας e || 13 οτι γαρ] exstant seqq in euth 12456 || 14 τα παντα περικρατων f || προορατικη l vulg || 15–16 βλεπων κ. τ. ισον l vulg || 20 τον γενησ.] το γενησ. l vulg || νενοσηκυιαν euth

1–2. τὴν ἐν βάθει...οἰκ.] '*our deeply rooted connection with evil.*' For ἐν βάθει cp. c. 7 τοῖς...ἐν βάθει καθάπερ τινὰ δεισοποιὸν βαφὴν τὴν αἱρετικὴν παραδεδεγμένοις ἀπάτην.

4–5. τῇ...φύσει] is governed by ἐκ τοῦ ἴσου. It is as impossible to describe the pains of the future purification as it is to describe the future blessings which man hopes for.

9. μικροψυχίας] Such accusations against the Creator show 'a little mind.' Cp. c. 9 τῶν μικροψυχοτέρων τὴν πίστιν.

11. ἔξω τῆς...ὁ.] Cp. c. 7 ἔξω τῆς αἰτίας (*bis*).

13. ὅτι γάρ] The following passage as far as χώραν οὐκ ἔχει, p. 50, is quoted in Euthymius Zigabenus *Pan. Dogm.* pt i tit. vi pp. 201 sq. (Migne).

20. ἀγαγ....νενοσ.] ἀγ. refers to God, νενοσ. to man (τὸν γενησόμενον). The text of Euth., in order to make the sense clearer, reads νενοσηκυῖαν (sc. τὴν φύσιν ἡμῶν). Καὶ νενοσ., '*even when he was diseased.*'

ἄνθρωπος εἰς τὸ ζῆν παρήχθη, πᾶσι τοῖς καλλίστοις θεοειδῶς κεκοσμημένος. ἐπειδὴ δὲ μόνον ἀναλλοίωτόν ἐστι κατὰ τὴν φύσιν τὸ μὴ διὰ κτίσεως ἔχον τὴν γένεσιν, τὰ δ' ὅσα παρὰ τῆς ἀκτίστου φύσεως ἐκ τοῦ μὴ ὄντος ὑπέστη, εὐθὺς ἀπὸ τροπῆς τοῦ εἶναι ἀρξάμενα, πάντοτε δι' ἀλλοιώσεως πρόεισιν, εἰ μὲν κατὰ φύσιν πράττοι, πρὸς τὸ κρεῖττον αὐτοῖς τῆς ἀλλοιώσεως εἰς ἀεὶ γιγνομένης, εἰ δὲ παρατραπείη τῆς εὐθείας, τῆς πρὸς τὸ ἐναντίον αὐτὰ διαδεχομένης κινήσεως· ἐπεὶ οὖν ἐν τούτοις καὶ ὁ ἄνθρωπος ἦν, ᾧ τὸ τρεπτὸν τῆς φύσεως πρὸς τὸ ἐναντίον παρώλισθεν, ἅπαξ δὲ τῆς τῶν ἀγαθῶν ἀναχωρήσεως δι' ἀκολούθου πᾶσαν ἰδέαν κακῶν ἀντεισαγούσης, ὡς τῇ μὲν ἀποστροφῇ τῆς ζωῆς ἀντεισαχθῆναι τὸν θάνατον, τῇ δὲ στερήσει τοῦ φωτὸς ἐπιγενέσθαι τὸ σκότος, τῇ δὲ τῆς ἀρετῆς ἀπουσίᾳ τὴν κακίαν ἀντεισαχθῆναι καὶ πάσῃ τῇ τῶν ἀγαθῶν ἰδέᾳ τὸν τῶν ἐναντίων ἀνταριθμηθῆναι κατάλογον, τὸν ἐν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ἀβουλίας ἐμπεπτωκότα· οὐδὲ γὰρ ἦν δυνατὸν ἐν φρονήσει εἶναι τὸν ἀπεστραμμένον τὴν φρόνησιν καὶ σοφόν τι βουλεύσασθαι τὸν τῆς σοφίας ἀναχωρήσαντα· διὰ τίνος ἔδει πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; τίνι διέφερεν ἡ τοῦ πεπτωκότος ἀνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνά-

4 om του vulg ‖ 6 προεισιν] + και l vulg ‖ 7 γενομενης ef γιν- vulg ‖ 11 του αγαθου d ‖ 12 πασαν κακ. ιδ. e ‖ 16 om ιδεα l* vulg ‖ καταριθμηθηναι g^{1}l vulg ‖ 20 δια τινος] exstant seqq in euth 12456 ‖ παλιν] τον ανθρωπον euth 12 ‖ 21 τινι δε διεφερεν f τινι δε επρεπεν l vulg

5. ἀπὸ τροπῆς] Cp. c. 6 ἀπὸ ἀλλοιώσεως ἤρξατο.

6. εἰ μὲν κατὰ φύσιν] The natural development of man would have been δι' ἀλλοιώσεως in the direction of improvement. By his departure from good it became a progressive deterioration.

8. τῆς εὐθείας] sc. ὁδοῦ.

16. ἀνταριθμηθῆναι] '*over against every kind of good there was set down the list of opposite evils.*'

17–18. τὸν...ἐμπεπτ.] Here begins the apodosis. The *acc.* is the subject of the *inf.* ἀνακληθῆναι below.

18. φρονήσει] 'practical wisdom,' 'prudence.' On φρόνησις and σοφία see Lightfoot on Col. i 10.

20. διὰ τίνος] The following passage, as far as the words τό τε σῶμα τῆς ψυχῆς διακρίνεται in c. 16, is reproduced in Euth. Zig. *Pan. Dogm.* pt i tit. vii pp. 213 sq. (Migne).

πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν διὰ μετανοίας ἀνακαλέσασθαι; τὸ δὲ διὰ τὰς σωματικὰς ἀλγηδόνας, αἳ τῷ ῥευστῷ τῆς φύσεως κατ' ἀνάγκην ἐπισυμβαίνουσι, κακῶν ποιητὴν τὸν θεὸν ὀνομάζειν, ἢ μηδὲ ὅλως ἀνθρώπου κτίστην αὐτὸν οἴεσθαι, ὡς ἂν μὴ καὶ τῶν ἀλγυνόντων ἡμᾶς αἴτιος ὑπονοοῖτο, τοῦτο τῆς ἐσχάτης μικροψυχίας ἐστὶ τῶν τῇ αἰσθήσει τὸ καλὸν καὶ τὸ κακὸν διακρινόντων, οἳ οὐκ ἴσασιν ὅτι ἐκεῖνο τῇ φύσει μόνον ἐστὶν ἀγαθόν, οὗ ἡ αἴσθησις οὐκ ἐφάπτεται, καὶ μόνον ἐκεῖνο κακὸν ἡ τοῦ ἀληθινοῦ ἀγαθοῦ ἀλλοτρίωσις. πόνοις δὲ καὶ ἡδοναῖς τὸ καλὸν καὶ τὸ μὴ καλὸν κρίνειν τῆς ἀλόγου φύσεως ἴδιόν ἐστιν, ἐφ' ὧν τοῦ ἀληθῶς καλοῦ ἡ κατανόησις διὰ τὸ μὴ μετέχειν αὐτὰ νοῦ καὶ διανοίας χώραν οὐκ ἔχει. ἀλλ' ὅτι μὲν θεοῦ ἔργον ὁ ἄνθρωπος, καλόν τε καὶ ἐπὶ καλλίστοις γενόμενον, οὐ μόνον ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐκ μυρίων ἑτέρων, ὧν τὸ πλῆθος διὰ τὴν ἀμετρίαν παραδραμούμεθα. θεὸν δὲ ἀνθρώπου ποιητὴν ὀνομάσαντες οὐκ ἐπιλελήσμεθα τῶν ἐν τῷ προοιμίῳ πρὸς τοὺς Ἕλληνας ἡμῖν διευκρινηθέντων, ἐν οἷς ἀπεδείκνυτο ὁ τοῦ θεοῦ λόγος οὐσιώδης τις καὶ ἐνυπόστατος ὢν αὐτὸς εἶναι καὶ θεὸς καὶ λόγος, πᾶσαν δύναμιν ποιητικὴν ἐμπεριειλημφώς, μᾶλλον δὲ αὐτοδύναμις ὢν καὶ πρὸς πᾶν ἀγαθὸν τὴν ὁρμὴν ἔχων καὶ πᾶν ὅ τι περ ἂν θελήσῃ κατεργαζόμενος τῷ σύνδρομον ἔχειν τῇ βουλήσει τὴν δύναμιν, οὗ καὶ θέλημα καὶ ἔργον ἐστὶν ἡ τῶν ὄντων ζωή, παρ' οὗ καὶ ὁ

1 om διὰ μετανοιας fl* vulg || 9 η αισθ.] om η deghnp euth 1246 || 10 αληθ. αγαθου] om αληθινου g¹l*n¹ αληθ. καλου deg*hp euth || 11 μη καλον] κακον vulg || διακρινειν euth 245 || 12 αληθινου καλου d αληθους καλου ef || 13 αυτο e || εχει] desinit euth || 21 εκπεριειλημφως hnp || 22 αγαθον] εργον αγαθον l vulg || 23 om την l vulg || 24 το συνδρ. fp || βουλησει] θελησει dn

2–3. τῷ ῥευστῷ] Bodily pain is the result of the unstable character of man's nature.

7. τῇ αἰσθήσει] Cp. *antea* c. 7 πρὸς τὸ ἡδὺ τῆς σωματικῆς ἀπολαύσεως τὸ ἀγαθὸν ὁριζόμενοι.

14. ἐπὶ καλλ.] Cp. c. 5 ἐπὶ τούτοις (note).

16. ἀμετρίαν] '*countless number.*'

18. προοιμ.] i.e. in c. 1.

ἄνθρωπος εἰς τὸ ζῆν παρήχθη, πᾶσι τοῖς καλλίστοις θεοειδῶς κεκοσμημένος. ἐπειδὴ δὲ μόνον ἀναλλοίωτόν ἐστι κατὰ τὴν φύσιν τὸ μὴ διὰ κτίσεως ἔχον τὴν γένεσιν, τὰ δ' ὅσα παρὰ τῆς ἀκτίστου φύσεως ἐκ τοῦ μὴ ὄντος ὑπέστη, εὐθὺς ἀπὸ τροπῆς τοῦ εἶναι ἀρξάμενα, πάντοτε δι' ἀλλοιώσεως πρόεισιν, εἰ μὲν κατὰ φύσιν πράττοι, πρὸς τὸ κρεῖττον αὐτοῖς τῆς ἀλλοιώσεως εἰς ἀεὶ γιγνομένης, εἰ δὲ παρατραπείη τῆς εὐθείας, τῆς πρὸς τὸ ἐναντίον αὐτὰ διαδεχομένης κινήσεως· ἐπεὶ οὖν ἐν τούτοις καὶ ὁ ἄνθρωπος ἦν, ᾧ τὸ τρεπτὸν τῆς φύσεως πρὸς τὸ ἐναντίον παρώλισθεν, ἅπαξ δὲ τῆς τῶν ἀγαθῶν ἀναχωρήσεως δι' ἀκολούθου πᾶσαν ἰδέαν κακῶν ἀντεισαγούσης, ὡς τῇ μὲν ἀποστροφῇ τῆς ζωῆς ἀντεισαχθῆναι τὸν θάνατον, τῇ δὲ στερήσει τοῦ φωτὸς ἐπιγενέσθαι τὸ σκότος, τῇ δὲ τῆς ἀρετῆς ἀπουσίᾳ τὴν κακίαν ἀντεισαχθῆναι καὶ πάσῃ τῇ τῶν ἀγαθῶν ἰδέᾳ τὸν τῶν ἐναντίων ἀνταριθμηθῆναι κατάλογον, τὸν ἐν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ἀβουλίας ἐμπεπτωκότα· οὐδὲ γὰρ ἦν δυνατὸν ἐν φρονήσει εἶναι τὸν ἀπεστραμμένον τὴν φρόνησιν καὶ σοφόν τι βουλεύσασθαι τὸν τῆς σοφίας ἀναχωρήσαντα· διὰ τίνος ἔδει πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; τίνι διέφερεν ἡ τοῦ πεπτωκότος ἀνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνά-

4 om του vulg ‖ 6 προεισιν] + και l vulg ‖ 7 γενομενης ef γιν- vulg ‖ 11 του αγαθου d ‖ 12 πασαν κακ. ιδ. e ‖ 16 om ιδεα l* vulg ‖ καταριθμηθηναι g^{1}l vulg ‖ 20 δια τινος] exstant seqq in euth 12456 ‖ παλιν] τον ανθρωπον euth 12 ‖ 21 τινι δε διεφερεν f τινι δε επρεπεν l vulg

5. ἀπὸ τροπῆς] Cp. c. 6 ἀπὸ ἀλλοιώσεως ἤρξατο.

6. εἰ μὲν κατὰ φύσιν] The natural development of man would have been δι' ἀλλοιώσεως in the direction of improvement. By his departure from good it became a progressive deterioration.

8. τῆς εὐθείας] sc. ὁδοῦ.

16. ἀνταριθμηθῆναι] '*over against every kind of good there was set down the list of opposite evils.*'

17–18. τὸν...ἐμπεπτ.] Here begins the apodosis. The *acc.* is the subject of the *inf.* ἀνακληθῆναι below.

18. φρονήσει] 'practical wisdom,' 'prudence.' On *φρόνησις* and *σοφία* see Lightfoot on Col. i 10.

20. διὰ τίνος] The following passage, as far as the words τό τε σῶμα τῆς ψυχῆς διακρίνεται in c. 16, is reproduced in Euth. Zig. *Pan. Dogm.* pt i tit. vii pp. 213 sq. (Migne).

κλησις, ἡ τοῦ πεπλανημένου χειραγωγία; τίνι ἄλλῳ ἢ τῷ κυρίῳ πάντως τῆς φύσεως; τῷ γὰρ ἐξ ἀρχῆς τὴν ζωὴν δεδωκότι μόνῳ δυνατὸν ἦν καὶ πρέπον ἅμα καὶ ἀπολομένην ἀνακαλέσασθαι. ὃ παρὰ τοῦ μυστηρίου τῆς ἀληθείας ἀκούομεν, θεὸν πεποιηκέναι κατ' ἀρχὰς τὸν ἄνθρωπον καὶ σεσωκέναι διαπεπτωκότα μανθάνοντες.

9. Ἀλλὰ μέχρι μὲν τούτων συνθήσεται τυχὸν τῷ λόγῳ ὁ πρὸς τὸ ἀκόλουθον βλέπων διὰ τὸ μὴ δοκεῖν ἔξω τι τῆς θεοπρεποῦς ἐννοίας τῶν εἰρημένων εἶναι· πρὸς δὲ τὰ ἐφεξῆς οὐχ ὁμοίως ἕξει, δι' ὧν μάλιστα τὸ μυστήριον τῆς ἀληθείας κρατύνεται· γένεσις ἀνθρωπίνη καὶ ἡ ἐκ νηπίου πρὸς τελείωσιν αὔξησις, βρῶσίς τε καὶ πόσις, καὶ κόπος, καὶ ὕπνος, καὶ λύπη, καὶ δάκρυον, συκοφαντία τε καὶ δικα-

3 απολλυμενην l vulg ‖ 5 εξ αρχης l vulg ‖ 6 μανθανομεν e **9.** 8 om o l vulg ‖ 9–10 το εφεξ. ghnp euth ‖ 11 αληθειας] ευσεβειας f οικονομιας euth 1456 ‖ γεννησιν ανθρωπινην λεγω euth ‖ 11–12 την...αυξησιν, βρωσιν... ποσιν...κοπον euth ‖ 13 υπνον...λυπην...συκοφαντιαν euth

CHAPS. IX—XXXII. ON THE INCARNATION AND REDEMPTION.

9. *In this and the two following chapters Gr. discusses some of the objections urged against the method employed by God in the Incarnation. One such objection arises out of the alleged degradation to the Divine Nature involved in it. The submission to the processes of birth and growth, the acceptance of the conditions of human life, and, finally, the dishonour attaching to the trial, death and burial of Christ, these, it is urged, were unworthy of God. In reply Gr. maintains that vice is the only degradation. The Incarnation, in that it was marked by absolute freedom from contact with vice, was an exhibition of moral perfection* (καλόν).

9. *θεοπρεποῦς ἐννοίας*] 'a conception which is worthy of God.' Τῶν *εἰρημ.* depends on *τι*.

9–10. *πρὸς δὲ τὰ ἐφεξῆς*] The sentence which follows is difficult. The text of Euth. is the result of an attempt to simplify the construction. The antecedent to *δι' ὧν* is *τὰ ἐφεξῆς*, which refers to *γένεσις ἀνθρωπίνη κτλ.*, these latter words being in loose apposition to *τὰ ἐφεξῆς*. For a similar instance of a broken construction see c. 1 *sub fin.* with note.

10. *οὐχ ὁμοίως ἕξει*] The subject is either the same as that of *συνθήσεται*, 'he will not think the same' or impersonal 'the case will not be the same.'

10–11. *τὸ μυστήριον τ. ἀ.*] i.e. the doctrine of the Incarnation, which rests upon and is established by *γένεσις κτλ.*, although these latter are likely at first to be a stumbling-block to the catechumen.

13. *συκοφαντία*] = '*false accusation.*' Δικαστ. '*place of judgement.*'

στήριον, καὶ σταυρός, καὶ θάνατος, καὶ ἡ ἐν μνημείῳ θέσις· ταῦτα γὰρ συμπαραλαμβανόμενα τῷ μυστηρίῳ ἀμβλύνει πως τῶν μικροψυχοτέρων τὴν πίστιν, ὡς μηδὲ τὸ ἐφεξῆς τῶν λεγομένων διὰ τὰ προειρημένα συμπαραδέχεσθαι. τὸ γὰρ θεοπρεπὲς τῆς ἐκ νεκρῶν ἀναστάσεως διὰ τὸ περὶ τὸν θάνατον ἀπρεπὲς οὐ προσίενται. ἐγὼ δὲ πρότερον οἶμαι δεῖν μικρὸν τῆς σαρκικῆς παχύτητος τὸν λογισμὸν ἀποστήσαντας, αὐτὸ τὸ καλὸν ἐφ' ἑαυτοῦ καὶ τὸ μὴ τοιοῦτον κατανοῆσαι, ποίοις γνωρίσμασιν ἑκάτερον τούτων καταλαμβάνεται. οὐδένα γὰρ ἀντερεῖν οἶμαι τῶν λελογισμένων, ὅτι ἓν κατὰ φύσιν μόνον τῶν πάντων ἐστὶν αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, τὸ δὲ κακίας ἐκτὸς παντὸς αἴσχους ἐστὶν ἀλλότριον· ᾧ δὲ μηδὲν αἰσχρὸν καταμέμικται, τοῦτο πάντως ἐν τῇ τοῦ καλοῦ μοίρᾳ καταλαμβάνεται, τὸ δὲ ἀληθῶς καλὸν ἀμιγές ἐστι τοῦ ἐναντίου. πρέπει δὲ θεῷ πᾶν ὅ τι περ ἐν τῇ τοῦ καλοῦ θεωρεῖται χώρᾳ. ἡ τοίνυν δειξάτωσαν κακίαν εἶναι τὴν γέννησιν, τὴν ἀνατροφήν, τὴν αὔξησιν, τὴν πρὸς τὸ τέλειον τῆς

1 και σταυρος] σταυρον (om και) euth || θανατον euth || την... θεσιν euth || 3 τα εφεξης en euth || 6 προσιεται g^{11} vulg || 7 δειν] + αυτους $g^{11}l^{1}$ || 10 παραλαμβανεται d || 12–13 το κατα κακιαν...αισχρον om l^{*} || 13–15 εστιν αλλοτρ....αμιγες εστ. τ. εναντιου om euth 1 et (exceptis εστ. αλλοτρ.) 2 || 13 αισχρον] εναντιου vulg || μεμικται vulg || 14 παραλαμβ. ehn || 16 τω θεω l^{*vid} vulg || ο τι περ] + αν deghnp || θεωρηται en euth 25 || 17 γενεσιν fg^{1}

2. συμπαραλαμβ.] *'when taken along with the revelation.'*

ib. ἀμβλύνει] *'blunt,' 'weaken.'* Μικροψυχ. cp. c. 8 ὑπὸ μικροψυχίας.

3. τὸ ἐφεξῆς] i.e. the Resurrection.

7–8. τὸν λογ. ἀποστ.] Cp. c. 7 τὸν νοῦν ἀποστήσαντας.

8. αὐτὸ τὸ καλόν] See note c. 5 p. 27.

10. τῶν λελογ.] The *perf.* is intensive, 'no one who has carefully pondered the matter.'

12. τὸ δὲ κακίας ἐκτός] 'that which is free from moral evil.'

14. μοίρᾳ] For this periphrastic use of μοῖρα (=*in numero...esse*) cp. Plat. *Phileb.* 54 C ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ ἐκεῖνό ἐστι. Καταλ. is a mere variation of phrase for the usual θεωρεῖσθαι which follows, while μοίρᾳ is followed by the equivalent χώρᾳ. *'This is assuredly found to be good.'*

φύσεως πρόοδον, τὴν τοῦ θανάτου πεῖραν, τὴν ἐκ τοῦ θανάτου ἐπάνοδον· ἢ εἰ ἔξω κακίας εἶναι τὰ εἰρημένα συντίθενται, οὐδὲν αἰσχρὸν εἶναι τὸ κακίας ἀλλότριον ἐξ ἀνάγκης ὁμολογήσουσι. καλοῦ δὲ πάντως ἀναδεικνυμένου τοῦ πάσης αἰσχρότητος καὶ κακίας ἀπηλλαγμένου, πῶς οὐκ ἐλεεινοὶ τῆς ἀλογίας οἱ τὸ καλὸν μὴ πρέπειν ἐπὶ θεοῦ δογματίζοντες;

10. Ἀλλὰ μικρόν, φησί, καὶ εὐπερίγραπτον ἡ ἀνθρωπίνη φύσις, ἄπειρον δὲ ἡ θεότης, καὶ πῶς ἂν περιελήφθη τῷ ἀτόμῳ τὸ ἄπειρον; καὶ τίς τοῦτό φησιν, ὅτι τῇ περιγραφῇ τῆς σαρκὸς καθάπερ ἀγγείῳ τινὶ ἡ ἀπειρία τῆς θεότητος περιελήφθη; οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας ζωῆς ἐντὸς κατακλείεται τῶν τῆς σαρκὸς ὅρων ἡ νοερὰ φύσις.

1 om του vulg ‖ 2 η ει] om ει n euth 25 ‖ των ειρημενων e om τα ειρ. p ‖ 3 συντιθεται l euth 1 ‖ ουδεν] και ουδεν euth 25 ‖ 4 αποδεικ. euth 25 ‖ 5 του...απηλλαγ. om l* vulg **10.** 8 απεριγραπτ. l*vid euth 16 περιγραπτ. vulg ‖ 10 φησειεν q φησι εν r ‖ 11 αγγειω] εν αγγ. g¹ εν αγγιω fqr ‖ το απειρον e Thdrt ‖ 12 θεοτητος] σαρκος Thdrt^rom

6. ἐλεεινοὶ τῆς ἀλ.] *'to be pitied for their folly.'*

10. *A second objection is 'How can the finite contain the infinite? How can the Divine Nature be contained within the limits of human nature?' Gr. replies that a fallacy underlies such questions. The Divine Nature is not confined within human nature as though the latter were a vessel. Even the soul of man, when engaged in the movements of thought, ranges at will far beyond the limits of the body. The relations of the human and Divine natures may be illustrated by those of the flame and the wick.*

8. Ἀλλὰ κτλ.] The passage which follows is quoted by Leontius of Byzantium *c. Nest. et Eutych.* bk iii. See Galland *Bibl. Vet. Patr.* xii p. 699.

ib. εὐπερίγραπτον] The common text has περιγραπτόν, 'circumscribed.' Εὐπερίγραπτον means 'easily circumscribed,' 'narrow,' 'small.' Gr. uses the word *in Hex., proem* p. 64 (Migne) ἐν ὀλίγοις τε καὶ εὐπεριγράπτοις τοῖς ῥήμασιν.

10. ἀτόμῳ] *'how the infinite could have been contained in the atom.'*

ib. τίς τοῦτό φ.] This passage is quoted by Theodoret *Dial.* ii (Inconfusus) p. 194 (Migne), to prove the two natures in Christ, although Gr.'s purpose is quite different, and the words are intended to correct a *false* conception of the union of the two natures.

13. ἐντός] For the separation of the prep. from the noun cp. c. 11 ἐντὸς γενέσθαι τῆς σῆς καταλήψεως. For the relations of soul and body see an interesting passage in Plotinus *Enn.* 4. 3. 20 sq., which Gr.

ἀλλ' ὁ μὲν ὄγκος τοῦ σώματος τοῖς οἰκείοις μέρεσι περιγράφεται, ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ κατ' ἐξουσίαν ἐφαπλοῦται τῇ κτίσει, καὶ μέχρις οὐρανῶν ἀνιοῦσα, καὶ τῶν ἀβύσσων ἐπιβατεύουσα, καὶ τῷ πλάτει τῆς οἰκουμένης ἐπερχομένη, καὶ πρὸς τὰ καταχθόνια διὰ τῆς πολυπραγμοσύνης εἰσδύνουσα, πολλάκις δὲ καὶ τῶν οὐρανίων θαυμάτων ἐν περινοίᾳ γίνεται, οὐδὲν βαρυνομένη τῷ ἐφολκίῳ τοῦ σώματος. εἰ δὲ ἀνθρώπου ψυχὴ κατὰ τὴν τῆς φύσεως ἀνάγκην συγκεκραμένη τῷ σώματι πανταχοῦ κατ' ἐξουσίαν γίνεται, τίς ἀνάγκη τῇ φύσει τῆς σαρκὸς τὴν θεότητα λέγειν ἐμπεριείργεσθαι καὶ μὴ διὰ τῶν χωρητῶν ἡμῖν ὑποδειγμάτων στοχασμόν τινα πρέ-

4 ανιουσα] φθανουσα qr || τα πλατη euth 45 || 5 επερχομενη] περιπολευουσα qr || 7 υπερουρ. dgnp euth επουρ. eh || 10 η αναγκη vulg || 12 χωρητικων q χωριτικων r || στοχασμον]+ημιν l vulg

may have had in his mind, as the illustration of the ἀγγεῖον, which Gr. has employed, occurs in it.

1. ὁ μὲν ὄγκος] The 'bulk' of the body is limited by its own particular parts and confined to them.

3. ἐφαπλοῦται] '*but the soul by the movements of its thought deploys over the whole creation at will.*' Gr. has probably in mind a passage of the *Phaedrus* of Plato (246 B): ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, πάντα τε οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσι γιγνομένη. τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ ἅπαντα τὸν κόσμον διοικεῖ.

4. ἐπιβατεύουσα] lit. 'setting foot on,' '*entering.*' Cf. *c. Eunom.* i p. 292 (Migne) ὑπερορισμὸς οὐ φοβήσει τὸν πάσης τῆς γῆς μετὰ τῆς αὐτῆς γνώμης ἐπιβατεύοντα.

ib. τῷ πλάτει] '*traversing the wide expanse of the world.*' The nearest approach to this use of ἐπέρχεσθαι with the *dat.* is in a passage of the *in Psalmos* (ii 14 *init.*) where Gr. says τούτοις ἐπελθὼν τοῖς νοήμασιν. The text of Euth. has the correction πλάτῃ.

6. πολυπραγμοσύνης] '*in its unwearying pursuit of truth.*' For πολυπραγμονεῖν in this sense cp. Cyril Al. *de Adorat.* i p. 145 (Migne) πολυπραγμωνῶμεν εὖ μάλα τῆς ἀληθείας τὸ κάλλος.

7. περινοίᾳ] '*is engaged in comprehending the wonders of the heavens.*' Περίνοια occurs in Plat. *Ax.* 370 C, where it is similarly used of the comprehension of the wonders of the heavens and the processes of nature. For the phrase ἐν π. γίν. cp. Greg. Naz. *Or.* xxviii 6 with Dr Mason's note.

8. τῷ ἐφολκίῳ] '*burdened by the appendage of the body.*' Ἐφολκ. lit. 'a ship that is taken in tow.' Plotinus (*de Pulchr.* 54 E) similarly uses ὀλκή of that which drags down the soul.

12. χωρητῶν] '*illustrations which we can comprehend.*'

ib. στοχασμὸν] '*conjecture.*' Cp. c. 8 τῷ στοχασμῷ τῆς διανοίας. For οἰκονομ. see *antea* c. 5 *init.* note.

ποντα περὶ τῆς θείας οἰκονομίας λαβεῖν; ὡς γὰρ τὸ πῦρ ἐπὶ τῆς λαμπάδος ὁρᾶται τῆς ὑποκειμένης περιδεδραγμένον ὕλης, καὶ λόγος μὲν διακρίνει τό τε ἐπὶ τῆς ὕλης πῦρ καὶ τὴν τὸ πῦρ ἐξάπτουσαν ὕλην, ἔργῳ δὲ οὐκ ἔστιν ἀπ' ἀλλήλων ταῦτα διατεμόντας, ἐφ' ἑαυτῆς δεῖξαι τὴν φλόγα διεζευγμένην τῆς ὕλης, ἀλλ' ἓν τὰ συναμφότερα γίνεται, οὕτω καὶ ἐπὶ τούτου· καί μοι μηδεὶς τὸ φθαρτικὸν τοῦ πυρὸς συμπαραλαμβανέτω τῷ ὑποδείγματι, ἀλλ' ὅσον εὐπρεπές ἐστι μόνον ἐν τῇ εἰκόνι δεξάμενος, τὸ ἀπεμφαῖνον ἀποποιείσθω· τὸν αὐτὸν οὖν τρόπον, ὡς ὁρῶμεν καὶ ἐξημμένην τοῦ

2 λαμπηδονος e || 5 εφ εαυτης] εφ εαυτην vulg || 7 ουτω] om e euth || και επι τουτου] om deghlnp vulg || και μοι] om μοι fl vulg || 9 το ανοικειον και απεμφ. l vulg || 10 om ουν g^1 euth 12

1. ὡς γάρ] The illustration of the flame and the wick which follows has been criticized as a touch of unconscious Eutychianism. But the purpose of Gr. in using the illustration is simply to show that the flame is inseparably connected with the wick and yet is not enclosed in it. Any further parallelism is foreign to his intention.

2. ὑποκειμένης] '*the material supplied to it*' i.e. for the flame to feed upon.

ib. περιδεδρ.] Cp. c. 6 p. 36.

3. λόγος διακρ.] The distinction between the flame and the wick, which reason (λόγος) makes, does not exist practically (ἔργῳ), as it is not possible to exhibit the flame separate from the wick.

7. οὕτω καὶ ἐπὶ τούτου] The text is in some confusion here. The reading adopted most easily explains the origin of the variations. Gr. begins to apply the comparison in the words οὕτω καὶ ἐπὶ τούτου, and then introduces a parenthesis καί μοι.....ἀποποιείσθω to safeguard his illustration from being misconceived, afterwards resuming the main sentence with τὸν αὐτὸν οὖν τρόπον.

ib. τὸ φθαρτικόν] Gr. guards against any material conceptions which may be associated with his illustration, such as may arise from the perishable character of the flame. His readers are to reject what is incongruous in the illustration. For ἀπεμφαῖνον see c. 1 p. 10 (note). Ἀποποιεῖσθαι='reject' is found in Job viii 20 (LXX) and in other passages of the same book.

10. ἐξημμένην] '*we see the flame clinging to that which is supplied to it and not included in the material.*' Ἐξημμ. is variously rendered in the different versions. Zinus, the Latin translator of Euthymius, renders 'flammam *attingere* subjectam materiam.' Similarly Hervetus 'quae subjectum *attingit et apprehendit.*' Fronto Ducaeus suggests two renderings: (1) *conjungi et dependere*, which is adopted by Krab.; (2) *accendi*, which yields the sense 'quae ex subjecta materia accensa est.' The justification for this second rendering is the preceding phrase τὴν τὸ πῦρ ἐξάπτουσαν ὕλην. But the absence of a preposition with τοῦ ὑποκειμένου is against it. The rendering given above suits the context and the general sense of ἐξάπτεσθαι. Τὸ ὑποκείμ. is the wick, which Gr. has referred to *supra* as ἡ ὑποκειμένη ὕλη.

ὑποκειμένου τὴν φλόγα καὶ οὐκ ἐναποκλειομένην τῇ ὕλῃ, τί κωλύει θείας φύσεως ἕνωσίν τινα καὶ προσεγγισμὸν κατανοήσαντας πρὸς τὸ ἀνθρώπινον, τὴν θεοπρεπῆ διάνοιαν καὶ ἐν τῷ προσεγγισμῷ διασώσασθαι, πάσης περιγραφῆς ἐκτὸς εἶναι τὸ θεῖον πιστεύοντας, κἂν ἐν ἀνθρώπῳ ᾖ;

11. Εἰ δὲ ζητεῖς πῶς κατακιρνᾶται θεότης πρὸς τὸ ἀνθρώπινον, ὥρα σοι πρὸ τούτου ζητεῖν τί πρὸς τὴν σάρκα τῆς ψυχῆς ἡ συμφυία. εἰ δὲ τῆς σῆς ἀγνοεῖται ψυχῆς ὁ τρόπος, καθ' ὃν ἑνοῦται τῷ σώματι, μηδὲ ἐκεῖνο πάντως οἷον δεῖν ἐντὸς γενέσθαι τῆς σῆς καταλήψεως· ἀλλ' ὥσπερ ἐνταῦθα καὶ ἕτερον εἶναί τι παρὰ τὸ σῶμα τὴν ψυχὴν πεπιστεύκαμεν ἐκ τοῦ μονωθεῖσαν τῆς ψυχῆς τὴν σάρκα νεκράν τε καὶ ἀνενέργητον γίνεσθαι, καὶ τὸν τῆς ἑνώσεως οὐκ ἐπιγινώσκομεν τρόπον, οὕτω κἀκεῖ διαφέρειν μὲν ἐπὶ τὸ μεγαλοπρεπέστερον τὴν θείαν φύσιν πρὸς τὴν θνητὴν καὶ ἐπίκηρον ὁμολογοῦμεν, τὸν δὲ τῆς ἀνακράσεως τρόπον τοῦ θείου πρὸς τὸν ἄνθρωπον συνιδεῖν οὐ χωροῦμεν. ἀλλὰ τὸ μὲν γεγενῆσθαι θεὸν ἐν ἀνθρώπου φύσει διὰ τῶν ἱστορουμένων θαυμάτων οὐκ ἀμφιβάλλομεν, τὸ δ' ὅπως, ὡς

2 της θειας euth 12 || κατανοησαντας] γνωρισαντας Thdrt$^{\text{sirm}}$ || 4 εν τη ενωσει f || διασωζεσθαι l vulg Thdrt$^{\text{rom}}$ || 5 θειον] οσιον f || εν ανθρωποις Thdrt και εν τω λαβειν δουλου μορφην f || η] ην vulg **11.** 6 ζητειν προ τουτου l vulg || 8 συναφεια g^{1} || 13 γενεσθαι l vulg || 16–17 του θ. τρ. f || 17 τον ανθρ.] το ανθρωπινον fg^{1} l vulg || 19 το δ οπως] το δε πως el vulg

2. *θείας φύσεως*] The absence of the article emphasizes the force of the adj. '*a nature which is Divine.*'

3. *θεοπρεπῆ διάνοιαν*] '*the right and proper thought of God.*'

11. *To the objection* '*In what manner is the Godhead united to the manhood?*' *Gr. replies that man does not know how in his own nature the soul is united to the flesh. The fact of the union of the Godhead and the manhood in Christ is attested by miracles, but the manner is inscrutable.*

10. *ἐντός*] For the separation from the noun cp. c. 10 p. 54, note.

14–15. *ἐπὶ τὸ μεγαλοπ.*] lit. 'in the direction of greater majesty,' '*as possessing greater majesty.*'

16. *ἀνακράσεως*] Cp. *supra κατακιρνᾶται* and c. 16 *ἀνεκφράστου συναναμράσεως*. On the use of such terms with reference to the Incarnation see Petavius *de Inc.* iii 2, and cp. Mason *Five Or. of Greg. Naz.* pp. 103, 112.

17. *οὐ χωροῦμεν*] '*we are not capable of perceiving.*'

18. *διὰ τῶν ἱστορ.*] Gr. rests his argument for the union of the Godhead and manhood in Christ on facts. It is attested by the miracles recorded.

μεῖζον ἢ κατὰ λογισμῶν ἔφοδον, διερευνᾶν παραιτούμεθα. οὐδὲ γὰρ πᾶσαν τὴν σωματικήν τε καὶ νοητὴν κτίσιν παρὰ τῆς ἀσωμάτου τε καὶ ἀκτίστου φύσεως ὑποστῆναι πιστεύοντες, τὸ πόθεν ἢ τὸ πῶς τῇ περὶ τούτων πίστει συνεξετάζομεν. ἀλλὰ τὸ γεγενῆσθαι παραδεχόμενοι, ἀπολυπραγμόνητον τὸν τρόπον τῆς τοῦ παντὸς συστάσεως καταλείπομεν, ὡς ἄρρητον παντάπασιν ὄντα καὶ ἀνερμήνευτον.

12. Τοῦ δὲ θεὸν ἐν σαρκὶ πεφανερῶσθαι ἡμῖν ὁ τὰς ἀποδείξεις ἐπιζητῶν πρὸς τὰς ἐνεργείας βλεπέτω. καὶ γὰρ τοῦ ὅλως εἶναι θεὸν οὐκ ἄν τις ἑτέραν ἀπόδειξιν ἔχοι, πλὴν τῆς δι' αὐτῶν τῶν ἐνεργειῶν μαρτυρίας. ὥσπερ τοίνυν εἰς τὸ πᾶν ἀφορῶντες, καὶ τὰς κατὰ τὸν κόσμον οἰκονομίας ἐπισκοποῦντες καὶ τὰς εὐεργεσίας τὰς θεόθεν κατὰ τὴν ζωὴν ἡμῶν ἐνεργουμένας, ὑπερκεῖσθαί τινα δύναμιν ποιητικὴν τῶν γιγνομένων καὶ συντηρητικὴν τῶν ὄντων καταλαμβάνομεν, οὕτως καὶ ἐπὶ τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος θεοῦ ἱκανὴν ἀπόδειξιν τῆς ἐπιφανείας τῆς

2 κτισιν] γεννησιν vulg ‖ 4 πως] οπως vulg ‖ 6 om τον vulg **12.** 9 φανεθηναι euth 12 ‖ 11 πλην] om vulg ‖ 12 δια της των εν. fl vulg ‖ 14 αποσκοπ. d

1. ἔφοδον] = 'method.' Cp. Greg. Naz. *Or.* xxviii 7 εἴπερ ὅλαις ταῖς λογικαῖς πιστεύεις ἐφόδοις.

5. συνεξετάζ.] '*along with our faith in these truths we do not combine an enquiry into the source and manner.*'

6. ἀπολυπραγμόνητον] For πολυπραγμονεῖν see *antea* c. 10 πολυπραγμοσύνης (note). Here the word has a somewhat more unfavourable sense. '*Accepting the fact that it was created, we put aside all curious enquiry into the manner in which the universe was framed.*' Cp. Cyr. Al. *in Isai. xlv* p. 964 (Migne) ἀπολυπραγμόνητα δὲ τὰ παρ' αὐτοῦ τεχνουργούμενα.

12. *The fact that God has become man is attested by the evidence of Divine power shown in the earthly life of Christ. His activities reveal wonders no less than those which in Creation point to the creative and upholding power of God.*

9. θεὸν ἐν σαρκὶ πεφ.] 1 Tim. iii 16.

13–14. οἰκονομίας ... εὐεργεσίας] Οἰκονομίαι are 'the orderly dispositions' made by God in the Universe. Εὐεργεσίαι are 'the exhibitions of beneficence' shown in the provision for the needs of His creatures. The θαύματα to which Gr. appeals exhibit the moral character and goodness of God. They are σημεῖα in the sense of St John.

15. ὑπερκεῖσθαι] Cp. *antea, prol.* δύναμιν...τοῦ παντὸς ὑπερκειμένην.

17–18. ἐπὶ τοῦ...φαν.] '*in the case of God manifested to us by means of the flesh.*' Another possible

θεότητος τὰ κατὰ τὰς ἐνεργείας θαύματα πεποιήμεθα, πάντα τοῖς ἱστορηθεῖσιν ἔργοις, δι' ὧν ἡ θεία χαρακτηρίζεται φύσις, κατανοήσαντες. θεοῦ τὸ ζωοποιεῖν τοὺς ἀνθρώπους, θεοῦ τὸ συντηρεῖν διὰ προνοίας τὰ ὄντα, θεοῦ τὸ βρῶσιν καὶ πόσιν τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι χαρίζεσθαι, θεοῦ τὸ εὐεργετεῖν τὸν δεόμενον, θεοῦ τὸ παρατραπεῖσαν ἐξ ἀσθενείας τὴν φύσιν πάλιν δι' ὑγείας πρὸς ἑαυτὴν ἐπανάγειν, θεοῦ τὸ πάσης ἐπιστατεῖν ὁμοιοτρόπως τῆς κτίσεως, γῆς, θαλάσσης, ἀέρος, καὶ τῶν ὑπὲρ τὸν ἀέρα τόπων, θεοῦ τὸ πρὸς πάντα διαρκῆ τὴν δύναμιν ἔχειν καὶ πρό γε πάντων τὸ θανάτου καὶ φθορᾶς εἶναι κρείττονα. εἰ μὲν οὖν τινὸς τούτων καὶ τῶν τοιούτων ἐλλιπὴς ἦν ἡ περὶ αὐτὸν ἱστορία, εἰκότως τὸ μυστήριον ἡμῶν οἱ ἔξω τῆς πίστεως παρεγράφοντο· εἰ δὲ δι' ὧν νοεῖται θεός, πάντα ἐν τοῖς περὶ αὐτοῦ διηγήμασι καθορᾶται, τί τὸ ἐμποδίζον τῇ πίστει;

13. Ἀλλά, φησί, γέννησίς τε καὶ θάνατος ἴδιον τῆς

4 τα παντα d ‖ 5 om δια vulg ‖ 6 το ενεργ.] om το vulg ‖ 8 επαναγαγειν e ‖ επιβατευειν fg[1]l επικρατευειν vulg ‖ ομ. επ. f ‖ 9 και των] om και l vulg ‖ τον αερα] om τον f ‖ 11 φθορας] διαφθορας g[1] ‖ 12 om τουτων και e ‖ om και των τοιουτων vulg ‖ 14 πιστεως] + ημων vulg ‖ 14–15 παντα... καθορατα om euth 16 ‖ 15 καθορατα] κατορθουται d **13.** 17 γενεσις g[1]

rendering is to take διὰ σαρκός in the sense in which it occurs below τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι. The language is intended to recall the words of St Paul with which the chapter begins.

2. τοῖς ἱστορηθ.] '*marking by means of His recorded works all the characteristic qualities of the Divine Nature.*'

3. ζωοποιεῖν] Cp. c. 15 ἐδείτο τοῦ ζωοποιοῦντος ὁ ἁφαμαρτὼν τῆς ζωῆς. Here it is used with a more general reference. The illustrations chosen by Gr. are intended to show that in the Incarnation there was exhibited a creative, sustaining activity like that to which Creation witnesses. He also hints at its redemptive purpose (παρατραπεῖσαν ...τὴν φύσιν...ἐπανάγειν) and especially emphasizes the mastery over death and corruption.

14. παρεγράφοντο] Παραγραφή =*praescriptio*, 'a legal exception,' 'demurrer.' '*Would have taken exception to.*'

13. *If it be objected that His birth and death show that He was limited by the conditions of human nature, we may reply that, while Christ was subject to the conditions of human nature, He also transcended them. He was born, but His birth was of a Virgin; He died, but His death was followed by His Resurrection. These facts show that He was more than man.*

17. γέννησις] The purpose of the objector is to show that Christ was

σαρκικῆς ἐστὶ φύσεως. φημὶ κἀγώ. ἀλλὰ τὸ πρὸ τῆς γεννήσεως καὶ τὸ μετὰ τὸν θάνατον τὴν τῆς φύσεως ἡμῶν ἐκφεύγει κοινότητα. εἰς γὰρ ἑκάτερα τῆς ἀνθρωπίνης ζωῆς τὰ πέρατα βλέποντες, ἴσμεν καὶ ὅθεν ἀρχόμεθα καὶ εἰς τί καταλήγομεν. ἐκ πάθους γὰρ ἀρξάμενος τοῦ εἶναι ὁ ἄνθρωπος πάθει συναπαρτίζεται. ἐκεῖ δὲ οὔτε ἡ γέννησις ἀπὸ πάθους ἤρξατο, οὔτε ὁ θάνατος εἰς πάθος κατέληξεν· οὔτε γὰρ τῆς γεννήσεως ἡδονὴ καθηγήσατο, οὔτε τὸν θάνατον φθορὰ διεδέξατο. ἀπιστεῖς τῷ θαύματι; χαίρω σου τῇ ἀπιστίᾳ· ὁμολογεῖς γὰρ πάντως δι' ὧν ὑπὲρ πίστιν ἠγῇ τὸ λεγόμενον, ὑπὲρ τὴν φύσιν εἶναι τὰ θαύματα. αὐτὸ οὖν τοῦτο τῆς θεότητος ἔστω σοι τοῦ φανέντος ἀπόδειξις, τὸ μὴ διὰ τῶν κατὰ φύσιν προιέναι

1 γενεσεως dghnp euth || 6 γενεσις dghnp || 8 γενεσεως dghnp || 9 απεδεξατο f || 10 om σου l^1 vulg || om παντως e || 11 om την f || 12 τα θαυμ.] το πραγμα f || 13 το μη]+δι ολου euth || φυσιν] quae sequuntur desunt in euth 5

merely man, because He shared in the characteristic limitations of our nature, i.e. birth and death.

3. κοινότητα] There were circumstances accompanying the birth and death of Christ, which could not be brought within the common experiences of mankind, i.e. the Virgin-birth and the Resurrection.

3–4. ἑκάτερα...πέρατα] '*looking to either extremity of our human life.*' For similar language cp. c. 27 τῆς ζωῆς ἡμῶν δύο πέρασιν ἑκατέρωθεν διειλημμένης, τὸ κατὰ τὴν ἀρχήν φημι καὶ τὸ τέλος.

5. πάθους] In this passage πάθος is used in two distinct senses, and it is not until c. 16 that Gr. clears up the ambiguity involved in the word. As applied to birth, the πάθος to which he refers is properly the πάθος of the parent (see ἡδονή below) and denotes 'passion.' As applied to death it implies imperfection, frailty, weakness, exhibited in the submission to φθορά.

6. συναπαρτίζεται] 'brings his life to a close' i.e. by the πάθος of death involving φθορά (see *infra*).

ib. ἐκεῖ δέ] In Christ each of the πέρατα (which in human life are attended by a πάθος) presented a display of Divine power. For they were free from any exhibition of πάθος. His birth was not preceded by ἡδονή, nor was His death accompanied by φθορά.

9. φθορά] Cf. Ps. xv 10, Acts ii 10. The word διαφθορά which is found in both those passages occurs *infra*.

10. χαίρω] The incredulity of his hearers Gr. regards as a testimony to the supernatural character of the events. And it is this which he is seeking to prove.

ib. ὁμολογεῖς γάρ] '*For you acknowledge that these wonderful events are above nature, by the very reasons which lead you to consider that the account surpasses belief.*'

12–13. τοῦ φανέντος] i.e. Χριστοῦ.

13. διὰ τῶν] '*that the Gospel message does not proceed in a way*

τὸ κήρυγμα. εἰ γὰρ ἐντὸς ἦν τῶν τῆς φύσεως ὅρων τὰ περὶ τοῦ Χριστοῦ διηγήματα, ποῦ τὸ θεῖον; εἰ δὲ ὑπερβαίνει τὴν φύσιν ὁ λόγος, ἐν οἷς ἀπιστεῖς, ἐν τούτοις ἐστὶν ἡ ἀπόδειξις τοῦ θεὸν εἶναι τὸν κηρυσσόμενον. ἄνθρωπος μὲν γὰρ ἐκ συνδυασμοῦ τίκτεται καὶ μετὰ θάνατον ἐν διαφθορᾷ γίνεται. εἰ ταῦτα περιεῖχε τὸ κήρυγμα, οὐκ ἂν θεὸν εἶναι πάντως ᾠήθης τὸν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως ἡμῶν μαρτυρούμενον. ἐπεὶ δὲ γεγενῆσθαι μὲν αὐτὸν ἀκούεις, ἐκβεβηκέναι δὲ τῆς φύσεως ἡμῶν τὴν κοινότητα τῷ τε τῆς γενέσεως τρόπῳ καὶ τῷ ἀνεπιδέκτῳ τῆς εἰς φθορὰν ἀλλοιώσεως, καλῶς ἂν ἔχοι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ ἕτερον τῇ ἀπιστίᾳ χρήσασθαι, εἰς τὸ μὴ ἄνθρωπον αὐτὸν ἕνα τῶν ἐν τῇ φύσει δεικνυμένων οἴεσθαι. ἀνάγκη γὰρ πᾶσα τὸν μὴ πιστεύοντα τὸν τοιοῦτον ἄνθρωπον εἶναι εἰς τὴν περὶ τοῦ θεὸν αὐτὸν εἶναι πίστιν ἐναχθῆναι. ὁ γὰρ γεγεννῆσθαι αὐτὸν ἱστορήσας καὶ τὸ ἐκ παρθένου γεγεννῆσθαι συνδιηγήσατο. εἰ οὖν πιστόν ἐστι διὰ τῶν εἰρημένων τὸ γεγεννῆσθαι αὐτόν, διὰ τῶν αὐτῶν τούτων πάντως οὐδὲ τὸ οὕτως αὐτὸν γεγεννῆσθαι ἀπίθανον. ὁ

1 ορων] + παντα euth || 2 om του f || 3 φυσιν] + εν πολλοις euth || 4 θεον] και θεον euth || 8 επει δε] επειδη e || γεγενν. dehn euth 245 || 9 ακουεις αυτον l vulg || 10 γεννησεως ef[1] euth 24 || 12 τη απιστ.] τη ατοπια euth 16 || 15 περι το θ. l[* vid] vulg || αναχθηναι euth 2 || 16 γεγενησθαι p euth 1 || 17 συνδιηγησεται e || δια των] το δ. τ. e || 18 γεγενησθαι lp || 19 γεγενησθαι fp

that follows the order of nature.' Τὸ κήρυγμα is here used to denote the facts which formed the substance of the preaching. Cp. 1 Cor. ii 4.

10. γενέσεως] '*in the manner of his origin and in the fact that he was incapable of a change to corruption.*' Gr. appears to use γένεσις and γέννησις almost as interchangeable terms. In the present passage γένεσις is certainly correct, as the grouping of the MSS shows. It occurs again, without any variations, in cc. 16, 27.

12. ἐπὶ τὸ ἕτερον] '*it would be well, consistently with these facts* (κατὰ τὸ ἀκόλουθον), *to exhibit incredulity in the opposite direction and refuse to think that He was an ordinary man like the other men who are produced in the course of nature.*' Δεικ. is used here like ἀποδεικ.

15–16. ὁ...ἱστ.] Mt i, Lk ii.

γὰρ τὴν γέννησιν εἰπὼν καὶ τὸ ἐκ παρθενίας προσέθηκεν· καὶ ὁ τοῦ θανάτου μνησθεὶς καὶ τὴν ἀνάστασιν τῷ θανάτῳ προσεμαρτύρησεν. εἰ οὖν ἀφ' ὧν ἀκούεις καὶ τεθνάναι καὶ γεγεννῆσθαι δίδως, ἐκ τῶν αὐτῶν δώσεις πάντως καὶ τὸ ἔξω πάθους εἶναι καὶ τὴν γέννησιν αὐτοῦ καὶ τὸν θάνατον. ἀλλὰ μὴν ταῦτα μείζω τῆς φύσεως. οὐκοῦν οὐδὲ ἐκεῖνος πάντως ἐντὸς τῆς φύσεως ὁ ἐν τοῖς ὑπὲρ τὴν φύσιν γεγενῆσθαι ἀποδεικνύμενος.

14. Τίς οὖν αἰτία, φησί, τοῦ πρὸς τὴν ταπεινότητα ταύτην καταβῆναι τὸ θεῖον, ὡς ἀμφίβολον εἶναι τὴν πίστιν, εἰ θεός, τὸ ἀχώρητον καὶ ἀκατανόητον καὶ ἀνεκλάλητον πρᾶγμα, τὸ ὑπὲρ πᾶσαν δόξαν καὶ πᾶσαν μεγαλειότητα, τῷ λύθρῳ τῆς ἀνθρωπίνης φύσεως καταμίγνυται, ὡς καὶ τὰς ὑψηλὰς ἐνεργείας αὐτοῦ τῇ πρὸς τὸ ταπεινὸν ἐπιμιξίᾳ συνευτελίζεσθαι.

1 παρθενου l vulg ‖ 4 το γεγενν. και το τεθ. vulg τεθνα διδως (om το γεγενν.) l γεγενησθαι n*p ‖ εκ των αυτ. om d ‖ 5 γενεσιν dghnp ‖ 6 τον θαν.] την αναστασιν e ‖ 7 εντος]+παντη euth ‖ om εν τοις e ‖ 8 om την vulg ‖ γεγενν. degh **14.** 9 η αιτια euth ‖ 13 λυθρω] ευτελει ελυτρω l vulg

1. παρθενίας] '*a state of virginity.*' Cp. *c. Eunom.* iv p. 628 (Migne) Πῶς οὖν ἐφανερώθη ἐν σαρκὶ ὁ θεός; Διὰ τόκου, πάντως ἐρεῖς. Ποίου οὖν τούτου μνησθείς; ἢ δῆλον ὅτι τῆς παρθενίας, καὶ ὅτι τὸ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματος ἁγίου ἦν;

7. οὐδὲ...ἐντός] In this way Gr. sums up his answer not only to the objection stated at the beginning of this chapter, but also to that put forward at the beginning of c. 10, i.e. that the Incarnation involved an 'inclusion' of the Godhead in human nature.

14. *For what purpose, it is asked, did God submit to the humiliation involved in becoming man?*

10–11. ἀμφίβολον εἶναι ... εἰ] '*Faith wavers at the thought that.*'

13. λύθρῳ] The reading εὐτελεῖ ἑλύτρῳ, 'the mean covering,' is a gloss which first appears in the thirteenth century MS *l*. It arose from the desire to soften the harsh expression λύθρῳ, 'the defilement' of human nature. The word εὐτελεῖ was probably suggested by the following συνευτελίζεσθαι. Λύθρον or λύθρος is used in Homer of mingled blood and dust. Here the term is probably used by the objector with a disparaging reference to the human birth, and recalls the 'Non horruisti' of the *Te Deum*. For καταμίγνυται and ἐπιμιξία cp. *supra* c. 11 ἀνακράσεως (note).

ib. ὡς καὶ] '*So that His sublime activities are degraded by His association with that which is base.*'

15. Οὐκ ἀποροῦμεν καὶ πρὸς τοῦτο θεοπρεποῦς ἀποκρίσεως. ζητεῖς τὴν αἰτίαν τοῦ γενέσθαι θεὸν ἐν ἀνθρώποις; ἐὰν ἀφέλῃς τοῦ βίου τὰς θεόθεν γινομένας εὐεργεσίας, ἐκ ποίων ἐπιγνώσῃ τὸ θεῖον οὐκ ἂν εἰπεῖν ἔχοις. ἀφ' ὧν γὰρ εὖ πάσχομεν, ἀπὸ τούτων τὸν εὐ- 5
εργέτην ἐπιγινώσκομεν· πρὸς γὰρ τὰ γινόμενα βλέποντες, διὰ τούτων τὴν τοῦ ἐνεργοῦντος ἀναλογιζόμεθα φύσιν. εἰ οὖν ἴδιον γνώρισμα τῆς θείας φύσεως ἡ φιλανθρωπία, ἔχεις ὃν ἐπεζήτησας λόγον, ἔχεις τὴν αἰτίαν τῆς ἐν ἀνθρώποις τοῦ θεοῦ παρουσίας. ἐδεῖτο γὰρ τοῦ ἰατρεύοντος ἡ φύσις 10
ἡμῶν ἀσθενήσασα, ἐδεῖτο τοῦ ἀνορθοῦντος ὁ ἐν τῷ πτώματι ἄνθρωπος, ἐδεῖτο τοῦ ζωοποιοῦντος ὁ ἀφαμαρτὼν τῆς ζωῆς, ἐδεῖτο τοῦ πρὸς τὸ ἀγαθὸν ἐπανάγοντος ὁ ἀπορρυεὶς τῆς τοῦ ἀγαθοῦ μετουσίας, ἔχρῃζε τῆς τοῦ φωτὸς παρου-
σίας ὁ καθειργμένος τῷ σκότῳ, ἐπεζήτει τὸν λυτρωτὴν ὁ 15
αἰχμάλωτος, τὸν συναγωνιστὴν ὁ δεσμώτης, τὸν ἐλευθε-
ρωτὴν ὁ τῷ ζυγῷ τῆς δουλείας κατεχόμενος. ἆρα μικρὰ

15. 1 om και f vulg ‖ 2 γεγενησθαι vulg ‖ 3 γενομενας fl euth 146 απογενομενας vulg ‖ 4 επιγν.]+πραγματων f ‖ 4–5 ουκ...εχοις] om h ‖ 5 om ευ l vulg ‖ 6 om γαρ h ‖ 7 ενεργετουντος n ‖ 10 ιατρευσοντος dehn euth ‖ 12 αφαμ.]εκπεσων f εφαμ. l* vid vulg ‖ 14 εχρηζε...παρουσιας om h ‖ παρουσιας] μετουσιας f ‖ 15 εν σκοτω e ‖ εζητει l vulg ‖ 17 κατεχ.] εγκατεχ. g1

15. *The cause of the Incarnation was God's love for man. Man's wretched condition was a sufficient justification for the Divine condescension. 'But,' it is objected, 'why not restore man by a mere fiat?' This last question Gr. does not properly deal with till c.* 17, *but meanwhile he affirms that there was nothing contrary to the character of God in the method chosen, nor anything inconsistent with the Divine Nature in the nature which He assumed.*

4. εὐεργεσίας] Cp. c. 12 τὰς εὐεργεσίας τὰς θεόθεν κατὰ τὴν ζωὴν ἡμῶν ἐνεργουμένας.

ib. ἐκ ποίων] Gr. claims that nothing short of a revelation of God in His goodness is adequate, if man is to know the essential nature of God. In c. 20 he maintains the necessity of the co-existence of justice, wisdom, and power in God in order that His goodness may be perfect.

8. ἡ φιλανθρωπία] Tit. iii 4. Cp. *adv. Apollinar.* xlii Λείπεται δὲ ὅπερ ἂν τῷ σκόπῳ τῆς φιλανθρωπίας συμβαίνῃ, τοῦτο εὐλογώτερον περὶ τὸν Θεὸν οἴεσθαι. Cp. *infra* c. 36.

12. ζωοποιοῦντος] Cp. *antea* c. 12.

13. ὁ ἀπορρυείς] Ἀπορρύειν = 'fall away from,' 'desert.'

15. καθειργμένος] For the use of καθ. without a prep. cp. *de An. et Res.* p. 21 (Migne) ὁ οἰκίσκῳ τινὶ καθειργμένος.

ταῦτα καὶ ἀνάξια τὸν θεὸν δυσωπῆσαι πρὸς ἐπίσκεψιν τῆς ἀνθρωπίνης φύσεως καταβῆναι, οὕτως ἐλεεινῶς καὶ ἀθλίως τῆς ἀνθρωπότητος διακειμένης; ἀλλ' ἐξῆν, φησί, καὶ εὐεργετηθῆναι τὸν ἄνθρωπον καὶ ἐν ἀπαθείᾳ τὸν θεὸν διαμεῖναι. ὁ γὰρ τῷ βουλήματι τὸ πᾶν συστησάμενος καὶ τὸ μὴ ὂν ὑποστήσας ἐν μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος, τί οὐχὶ καὶ τὸν ἄνθρωπον δι' αὐθεντικῆς τινὸς καὶ θεικῆς ἐξουσίας τῆς ἐναντίας δυνάμεως ἀποσπάσας πρὸς τὴν ἐξ ἀρχῆς ἄγει κατάστασιν, εἰ τοῦτο φίλον αὐτῷ· ἀλλὰ μακρὰς περιέρχεται περιόδους, σώματος ὑπερχόμενος φύσιν, καὶ διὰ γεννήσεως παριὼν εἰς τὸν βίον, καὶ πᾶσαν ἀκολούθως ἡλικίαν διεξιών, εἶτα θανάτου γευόμενος, καὶ οὕτως διὰ τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τὸν σκόπον ἀνύων, ὡς οὐκ ἐξὸν αὐτῷ μένοντι ἐπὶ τοῦ ὕψους τῆς θεικῆς δόξης, διὰ προστάγματος σῶσαι τὸν ἄνθρωπον, τὰς δὲ τοιαύτας περιόδους χαίρειν ἐᾶσαι; οὐκοῦν ἀνάγκη καὶ ταῖς τοιαύταις

1 αναξ. του θεον f ‖ 3 διακ. της ανθρωπ. f ‖ 5 το παν] τα παντα e ‖ 11 περιων dp

1. ἀνάξια] Cp. c. 36 Ἴδιον δὲ τῆς θείας ἐνεργείας ἡ τῶν δεομένων ἐστὶ σωτηρία.

ib. δυσωπῆσαι] depends on ἀνάξια, 'unworthy to importune.' Δυσωπεῖν lit. means 'to put a man out of countenance.'

ib. ἐπίσκεψιν] used in the Bible sense of a 'visitation of mercy or redemption.' Cf. Lk i 68, vii 16, Acts xv 14. The use of the expression πρὸς ἐπίσκεψιν...καταβῆναι here is probably a reminiscence of the account of the Exodus. See Ex. iii 8; iv 31 (LXX).

3. ἀλλ' ἐξῆν] The objector asks 'why did not God restore man by a mere fiat, instead of choosing a method which involved the submission to πάθη and the long delay required for passing through the stages of human birth, growth, death, and resurrection?' In reply Gr. first of all deals with the charge that God was involved in πάθη by the Incarnation. This he treats of in the present chapter and in c. 16. The question why God did not choose a different method he deals with in c. 17.

7. αὐθεντικῆς] 'authoritative.' Cf. Clem. Alex. *Strom.* i c. 7 Ἐὰν τὴν βασιλικήν τε καὶ αὐθεντικὴν εἴσοδον ζητῇς ἀκούσῃ. Athanasius similarly deals with the question why God did not restore man νεύματι μόνῳ *de Inc.* 44. Origen also discusses the objection in *c. Cels.* iv 3, 4.

8. ἐναντίας] i.e. the Devil.

10. περιόδους] '*circuitous routes*' rather than 'long periods of time.' For other instances of this use see cc. 17, 26.

12. θανάτου γευόμενος] Heb. ii 9.

τῶν ἀντιθέσεων ἀντικαταστῆναι παρ' ἡμῶν τὴν ἀλήθειαν, ὡς ἂν διὰ μηδενὸς ἡ πίστις κωλύοιτο τῶν ἐξεταστικῶς ζητούντων τοῦ μυστηρίου τὸν λόγον. πρῶτον μὲν οὖν, ὅπερ καὶ ἐν τοῖς φθάσασιν ἤδη μετρίως ἐξήτασται, τί τῇ ἀρετῇ κατὰ τὸ ἐναντίον ἀντικαθέστηκεν, ἐπισκεψώμεθα. ὡς φωτὶ σκότος καὶ θάνατος τῇ ζωῇ, οὕτω τῇ ἀρετῇ ἡ κακία δῆλον ὅτι, καὶ οὐδὲν παρὰ ταύτην ἕτερον. καθάπερ γὰρ πολλῶν ὄντων τῶν ἐν τῇ κτίσει θεωρουμένων οὐδὲν ἄλλο πρὸς τὸ φῶς ἢ τὴν ζωὴν τὴν ἀντιδιαίρεσιν ἔχει, οὐ λίθος, οὐ ξύλον, οὐχ ὕδωρ, οὐκ ἄνθρωπος, οὐκ ἄλλο τι τῶν ὄντων οὐδέν, πλὴν ἰδίως τὰ κατὰ τὸ ἐναντίον νοούμενα, οἷον σκότος καὶ θάνατος· οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς οὐκ ἄν τις κτίσιν τινὰ κατὰ τὸ ἐναντίον αὐτῇ νοεῖσθαι λέγοι, πλὴν τὸ κατὰ κακίαν νόημα. οὐκοῦν εἰ μὲν ἐν κακίᾳ γεγενῆσθαι τὸ θεῖον ὁ ἡμέτερος ἐπρέσβευε λόγος, καιρὸν εἶχεν ὁ ἀντιλέγων κατατρέχειν ἡμῶν τῆς πίστεως, ὡς ἀνάρμοστά τε καὶ ἀπεμφαίνοντα περὶ τῆς θείας φύσεως δογματιζόντων· οὐ γὰρ δὴ θεμιτὸν ἦν αὐτοσοφίαν καὶ ἀγαθότητα καὶ ἀφθαρσίαν, καὶ εἴ τι ὑψηλόν ἐστι νόημά τε καὶ ὄνομα, πρὸς

4 οπερ...εξηταται om euth ‖ 5 καθεστηκεν l vulg ‖ 6–7 και τη κακια η αρετη l vulg ‖ 8 κτισει] φυσει f ‖ 9 αντιδιαιρ.] αντιθεσιν euth ‖ 13 om αυτη euth 1 ‖ 14 νοημα] κινημα euth 4 ‖ 15 καιρον αν ειχεν l vulg ‖ 17 φυσεως] πιστεως h ‖ δοξαζοντων fg^{1}l vulg ‖ 18 αυτοσοφ.] την αυτ. vulg την αυτου σ. f ‖ 19 ει τι] ο τι g^{1} ‖ υψηλ. εστιν] om εστιν f ‖ και ονομα] hic rursus incipit euth 5

2. ἐξεταστικῶς] '*by exact enquiry.*' Careful students of the Christian revelation (μυστηρίου) will need 'a rational account' (λόγον) of its method. Μυστήριον is used as elsewhere in its N.T. sense = 'a mystery revealed,' and is a synonym for the Christian revelation.

4. ἐν τοῖς φθάσασιν] Gr. has already drawn in cc. 5—8 the distinction which he proceeds to lay down. But he is probably thinking here of c. 9 where he has laid down the lines of his answer to the objection raised against the Incarnation as involving a degradation to God. In that chapter he maintained that τὸ κατὰ κακίαν πάθος is the only real degradation. It is this point which he now takes up. Vice, and nothing but vice, is the opposite of virtue.

11. ἰδίως] '*but properly those things which are perceived to be their exact opposites.*'

15. ἐπρέσβευε] '*set forth.*' Cp. Lucian *Pisc.* 23 μὴ τὰ σεαυτοῦ μόνον πρεσβεύειν ἐν τῇ κατηγορίᾳ. For κατατρέχειν cf. *antea* c. 5.

17. ἀπεμφαίνοντα] See above c. 1 p. 10 (note).

τὸ ἐναντίον μεταπεπτωκέναι λέγειν. εἰ οὖν θεὸς μὲν ἡ ἀληθὴς ἀρετή, φύσις δέ τις οὐκ ἀντιδιαιρεῖται τῇ ἀρετῇ, ἀλλὰ κακία, θεὸς δὲ οὐκ ἐν κακίᾳ, ἀλλ' ἐν ἀνθρώπου γίνεται φύσει, μόνον δὲ ἀπρεπὲς καὶ αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, ἐν ᾧ οὔτε γέγονεν θεός, οὔτε γενέσθαι φύσιν ἔχει, τί ἐπαισχύνονται τῇ ὁμολογίᾳ τοῦ θεὸν ἀνθρωπίνης ἅψασθαι φύσεως, οὐδεμιᾶς ἐναντιότητος ὡς πρὸς τὸν τῆς ἀρετῆς λόγον ἐν τῇ κατασκευῇ τοῦ ἀνθρώπου θεωρουμένης; οὔτε γὰρ τὸ λογικόν, οὔτε τὸ διανοητικόν, οὔτε τὸ ἐπιστήμης δεκτικόν, οὔτε ἄλλο τι τοιοῦτον, ὃ τῆς ἀνθρωπίνης ἴδιον οὐσίας ἐστί, τῷ λόγῳ τῆς ἀρετῆς ἠναντίωται.

16. Ἀλλ' αὐτή, φησίν, ἡ τροπὴ τοῦ ἡμετέρου σώματος

5 ο θεος deghnp euth || του γενεσθαι l vulg || 6 την ομολογιαν vulg

2. φύσις] used here as the equivalent to κτίσις, which occurs above. Cf. *antea* c. 6 τῆς τοῦ κρείττονος φύσεως (note). '*And no existing thing of any kind is logically opposed to virtue, but only vice.*' For ἀντιδιαιρεῖσθαι cf. c. 6 p. 33 (note).

5. φύσιν ἔχει]=πέφυκε. 'It is not His nature (or 'it is not possible for Him') to be born.'

7. ἅψασθαι] '*laid hold of*' or '*assumed human nature.*' Cp. c. 16 τίνος...ἥφθαι τὸ θεῖον;

ib. οὐδεμιᾶς] '*seeing that in the constitution of man there is nothing which is contradictory to the conception of virtue.*' There is nothing in the constitution of human nature which is inconsistent with the idea of virtue, and which is therefore ἀπρεπές and αἰσχρόν so that God could not assume it.

9. τὸ λογικόν] '*rational thought, nor the faculty of understanding, nor the capacity for exact knowledge.*' For τὸ διανοητικόν cp. *antea* c. 6.

11. οὐσίας] For this use of the word cp. *antea* c. 6 p. 32 (note).

16. '*But,*' *it is objected,* '*the change involved in human birth is a* πάθος.' *Gr. in reply draws a distinction between a right and a wrong use of the word* πάθος. *Properly the word can only be used of moral declension, not of natural processes. The contact of God with human nature no more involved submission to real* πάθος *than does the contact of a physician with the ailments of his patients. The birth of Christ was free from that element of passion which attends human birth, just as His life was free from that vicious impulse which we find in man. The dissolution of body and soul was no more a* πάθος *than was their first combination. Christ's Resurrection was the re-combination in an indissoluble and eternal union of the intelligible and sensible elements separated in death. In virtue of this He becomes the originating principle for all mankind of the same eternal union of the elements of human nature, freed from the admixture of evil.*

12. τροπή] 'change experienced by our body.' Τροπή is the mutability attaching to all created things as contrasted with the immutability of the Creator. The process of birth implies 'change.' In a secondary sense τροπή often has the meaning of moral change or frailty.

πάθος ἐστίν. ὁ δὲ ἐν τούτῳ γεγονὼς ἐν πάθει γίνεται· ἀπαθὲς δὲ τὸ θεῖον. οὐκοῦν ἀλλοτρία περὶ θεοῦ ἡ ὑπόληψις, εἴπερ τὸν ἀπαθῆ κατὰ τὴν φύσιν πρὸς κοινωνίαν πάθους ἐλθεῖν διορίζονται. ἀλλὰ καὶ πρὸς ταῦτα πάλιν τῷ αὐτῷ λόγῳ χρησόμεθα, ὅτι τὸ πάθος τὸ μὲν κυρίως, τὸ δὲ ἐκ καταχρήσεως λέγεται. τὸ μὲν οὖν προαιρέσεως ἁπτόμενον καὶ πρὸς κακίαν ἀπὸ τῆς ἀρετῆς μεταστρέφον ἀληθῶς πάθος ἐστί, τὸ δ' ὅσον ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἱρμὸν πορευομένῃ διεξοδικῶς θεωρεῖται, τοῦτο κυριώτερον

16. 4 διοριζ.] το κηρυγμα διοριζεται euth ‖ 5 χρησωμεθα dl vulg ‖ το παθος] om το euth ‖ κυριως] + λεγεται h ‖ 9 πορευομενης fl πορευομενον eh

1: πάθος] The word has several distinct shades of meaning. It is thus defined by Aristotle, *Metaphys.* 4. 21: Πάθος λέγεται ἕνα μὲν τρόπον ποιότης καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης καὶ ὅσα ἄλλα τοιαῦτα· ἕνα δὲ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις ἤδη. ἔτι τούτων μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις καὶ κινήσεις, καὶ μάλιστα αἱ λυπηραὶ βλάβαι. ἔτι τὰ μεγέθη τῶν συμφορῶν καὶ λυπηρῶν πάθη λέγεται. It is this ambiguity upon which Gr. lays hold. He distinguishes between a 'proper' (κυρίως) and a 'misapplied' (ἐκ καταχρήσεως) use of the word. In the 'proper sense' i.e. moral declension, the Incarnation, he holds, cannot have involved πάθος, because Christ had no contact with sin, either in the circumstances of His birth or in His own life. The question arises, how does Gr. face the objection arising from the other sense of πάθος, which is plainly implied in the argument that ἡ τροπὴ τοῦ ἡμετέρου σώματος is a πάθος? It would seem that Gr.'s illustration of the physician is intended to meet this objection. The Divine Nature, though brought into touch with human nature, was no more subject to a παθητικὴ διάθεσις than is the physician who handles the infirmity of his patient. Gr. has the same discussion on πάθος and the same illustration of the physician in *c. Eunom.* vi 721 B, C, 724 B (Migne). It is difficult to render πάθος in English, as there is no one term which conveys the different senses of the word. The translation in *N. and P. N. F.* has 'weakness.' Another rendering is 'passion,' which is used in a moral sense and also of the physical sufferings of Christ, though it does not suit the description of the process of birth. See further note c. 13 p. 60.

4. διορίζονται] is part of the language of the objector and refers to the upholders of the Christian faith.

6–7. τὸ...προαιρ. ἁπτόμενον] '*that which lays hold of the will.*' Cp. ἅψασθαι c. 15.

9. πορευομένῃ] The reading πορευομένης is plainly a corruption, while πορευόμενον is a correction due to the failure to understand the construction of the passage. The word διεξοδικῶς goes with θεωρεῖται. For the cast of the whole sentence ὅσον ἐν τῇ φύσει...διεξοδικῶς θεωρεῖται cp. c. 1 τὰ ἐν αὐτῷ [i.e. τῷ κόσμῳ] πάντα σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα. In such passages θεωρεῖσθαι (like καταλαμβάνεσθαι) is a mere

ἔργον ἂν μᾶλλον ἢ πάθος προσαγορεύοιτο, οἷον ἡ γέννησις, ἡ αὔξησις, ἡ διὰ τοῦ ἐπιρρύτου τε καὶ ἀπορρύτου τῆς τροφῆς τοῦ ὑποκειμένου διαμονή, ἡ τῶν στοιχείων περὶ τὸ σῶμα συνδρομή, ἡ τοῦ συντεθέντος πάλιν διάλυσίς τε καὶ πρὸς τὰ συγγενῆ μεταχώρησις. τίνος οὖν λέγει τὸ μυστήριον ἡμῶν ἥφθαι τὸ θεῖον; τοῦ κυρίως λεγομένου πάθους, ὅπερ κακία ἐστίν, ἢ τοῦ κατὰ τὴν φύσιν κινήματος; εἰ μὲν γὰρ ἐν τοῖς ἀπηγορευμένοις γεγενῆσθαι τὸ θεῖον ὁ λόγος διισχυρίζετο, φεύγειν ἔδει τὴν ἀτοπίαν τοῦ δόγματος, ὡς οὐδὲν ὑγιὲς περὶ τῆς θείας φύσεως διεξιόντος· εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει, ἧς καὶ ἡ πρώτη γένεσίς τε καὶ ὑπόστασις παρ' αὐτοῦ τὴν ἀρχὴν ἔσχε, ποῦ τῆς θεῷ

1 γενεσις dg*hnp || 2 της επιρρυτου codd omn: του e conjectura restitui || om της ante τροφης f euth || 7 om την l euth vulg || 8 απηγ.] απαγορευομενοις euth || 9 δογματος] πραγματος f || 10 της θ. φυσεως] του θειου δογματος e || εξιοντος f

synonym for εἶναι. The words κατὰ τὸν ἴδιον εἱρμὸν πορευομένη are an explanatory clause attached to τῇ φύσει. For similarly constructed clauses see c. 24 ἡ δὲ...κάθοδος περιουσία τίς ἐστι τῆς δυνάμεως οὐδὲν ἐν τοῖς παρὰ φύσιν κωλυομένης, and c. 37 ὡς γὰρ τῷ φθοροποιῷ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντι ἅπαν τὸ ἀνακραθὲν συνηχρείωται. Gr. has the same idea in *c. Eunom.* vi p. 721 (Migne) οὐδὲ κυρίως ἂν τις τὸν ἀναγκαῖον τῆς φύσεως εἱρμὸν πάθος λέγοι, βλέπων ὁδῷ προιοῦσαν ἐν τάξει τινὶ καὶ ἀκολουθίᾳ τὴν σύνθετον φύσιν.

ib. διεξοδικῶς] lit. 'in successive detail.' '*Everything that successively occurs in nature, as the latter proceeds in its own proper sequence, would more strictly be called an action than a "passion".*'

2–3. τοῦ ἐπιρρ....τῆς τροφῆς] The emendation adopted in the text best explains the readings of the MSS. The omission of τῆς before τροφῆς in *f* and the text of Euthymius is plainly a correction. For the whole expression cp. *de An. et Res.* p. 141 (Migne) τὸ γὰρ ἐπίρρυτον τῆς φύσεως ἡμῶν, καὶ τὸ ἀπόρρυτον διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενον, τότε κινούμενον ἵσταται, ὅταν καὶ τῆς ζωῆς ἀπολήξῃ. '*The permanence of the subject through the influx and efflux of nourishment.*' Gr. again refers to the process of nutrition and growth in c. 37 (see notes). See further the interesting discussion in *de Hom. Opif.* c. 27.

6. ἥφθαι] Cp. c. 15 p. 66 ἅψασθαι (note).

7. κινήματος] i.e. what he has previously defined as ἔργον, including the natural processes of birth, growth, &c.

8. τοῖς ἀπηγορ.] Cp. c. 8 ἐν τοῖς ἀπηγορευμένοις ἐγένοντο οἱ πρῶτοι ἄνθρωποι. Gr. explains his meaning below, when he shows that as Christ's birth was free from τὸ καθ' ἡδονὴν πάθος, so His life was free from ἡ πρὸς κακίαν ὁρμή.

10. διεξιόντος] '*relating*,' '*recounting*.'

11. ἐφῆφθαι] a somewhat stronger form of ἥφθαι above.

πρεπούσης ἐννοίας διαμαρτάνει τὸ κήρυγμα, μηδεμιᾶς παθητικῆς διαθέσεως ἐν ταῖς περὶ θεοῦ ὑπολήψεσι τῇ πίστει συνεισιούσης; οὐδὲ γὰρ τὸν ἰατρὸν ἐν πάθει γίνεσθαι λέγομεν, ὅταν θεραπεύῃ τὸν ἐν πάθει γινόμενον· ἀλλὰ κἂν προσάψηται τοῦ ἀρρωστήματος, ἔξω πάθους ὁ θεραπευτὴς διαμένει. εἰ ἡ γένεσις αὐτὴ καθ' ἑαυτὴν πάθος οὐκ ἔστιν, οὐδ' ἂν τὴν ζωήν τις πάθος προσαγορεύσειεν, ἀλλὰ τὸ καθ' ἡδονὴν πάθος τῆς ἀνθρωπίνης καθηγεῖται γενέσεως, καὶ ἡ πρὸς κακίαν τῶν ζώντων ὁρμή, τοῦτο τῆς φύσεως ἡμῶν ἐστὶν ἀρρώστημα· ἀλλὰ μὴν ἀμφοτέρων αὐτὸν καθαρεύειν φησὶ τὸ μυστήριον· εἰ οὖν ἡδονῆς μὲν ἡ γένεσις ἠλλοτρίωται, κακίας δὲ ἡ ζωή, ποῖον ὑπολείπεται πάθος, οὗ τὸν θεὸν κεκοινωνηκέναι φησὶ τὸ τῆς εὐσεβείας μυστήριον; εἰ δὲ τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς διάζευξιν πάθος προσαγορεύοι, πολὺ πρότερον δικαίως ἂν εἴη τὴν συνδρομὴν ἀμφοτέρων οὕτω κατονομάσαι. εἰ γὰρ ὁ χωρισμὸς τῶν συνημμένων πάθος ἐστί, καὶ ἡ συνάφεια τῶν διεστώτων πάθος ἂν εἴη· κίνησις γάρ τίς

3 συνιουσης f εισιουσης vulg || γενεσθαι ef || 4 οταν θεραπευη...γινομ.] om e || γενομενον fgl vulg || 7 τη ζωη vulg || 8 καθ ηδονην] + φησι euth || 9 ορμη τ. ζωντ. l vulg || 10 om ημων l vulg || αμφ. αυτων efghn euth 2 || 12 γεννησις fg[1] euth 5 + αυτου euth || υπολελειπται deghnp euth || 14 ει δε την] ει δε και την f ει δε τις την en euth || 15 διαζευξιν] τις διαζ. l vulg την διαζ. dnp || 16 αμφοτερων] εκατερων f || 17 συνημμενων euth || 18 συναφεια] desunt seqq in euth 2

1. μηδεμιᾶς] '*Since in our conceptions of God no disposition to "passion" enters along with our belief.*' When we say that God became man, we do not imply that the Godhead was subject to the vicissitudes of birth, growth, death. Gr. illustrates this by the case of the physician.

3. τὸν ἰατρόν] Cp. the passage referred to on p. 67 from *c. Eunom.* vi p. 724 (Migne).

6. εἰ ἡ γένεσις] The protasis is resumed in the clauses beginning οὐδ' ἄν (for μηδ' ἄν)—ἀλλὰ τὸ κ. ἡ. π.—ἀλλὰ μήν (unless we assume that this is a parenthesis)—εἰ οὖν. The apodosis begins with ποῖον.

13–14. τὸ τῆς εὐσ. μ.] 1 Tim. iii 16.

14. εἰ δέ] In what follows Gr. maintains that the arguments which make the term πάθος inapplicable to the human birth, also make it inapplicable to the dissolution of the body and soul in death.

15. προσαγορεύοι] The subject is the imaginary objector. The text has been corrected by the insertion of τις, in some MSS before τήν, in others before διάζευξιν.

ἐστιν ἔν τε τῇ συγκρίσει τῶν διεστώτων καὶ ἐν τῇ διακρίσει τῶν συμπεπλεγμένων ἢ ἡνωμένων. ὅπερ τοίνυν ἡ τελευταία κίνησις ὀνομάζεται, τοῦτο προσήκει καλεῖσθαι καὶ τὴν προάγουσαν. εἰ δὲ ἡ πρώτη κίνησις, ἣν γένεσιν ὀνομάζομεν, πάθος οὐκ ἔστιν, οὐδ' ἂν ἡ δευτέρα κίνησις, ἣν θάνατον ὀνομάζομεν, πάθος ἂν κατὰ τὸ ἀκόλουθον λέγοιτο, καθ' ἣν ἡ συνδρομὴ τοῦ σώματος καὶ τῆς ψυχῆς διακρίνεται. τὸν δὲ θεόν φαμεν ἐν ἑκατέρᾳ γεγενῆσθαι τῇ τῆς φύσεως ἡμῶν κινήσει, δι' ἧς ἥ τε ψυχὴ πρὸς τὸ σῶμα συντρέχει, τό τε σῶμα τῆς ψυχῆς διακρίνεται· καταμιχθέντα δὲ πρὸς ἑκάτερον τούτων, πρός τε τὸ αἰσθητόν φημι καὶ τὸ νοερὸν τοῦ ἀνθρωπίνου συγκρίματος, διὰ τῆς ἀρρήτου ἐκείνης καὶ ἀνεκφράστου συνανακράσεως τοῦτο οἰκονομήσασθαι, τὸ τῶν ἅπαξ ἑνωθέντων, ψυχῆς λέγω καὶ σώματος, καὶ εἰς ἀεὶ διαμεῖναι τὴν ἕνωσιν. τῆς γὰρ φύσεως ἡμῶν διὰ τῆς ἰδίας ἀκολουθίας καὶ ἐν ἐκείνῳ πρὸς διάκρισιν τοῦ σώματος καὶ τῆς ψυχῆς κινηθείσης, πάλιν

1 συγκρασει fgl[1] || 2 η ηνωμενων] e Krab. conjectura textum restitui η νοουμενων dghnp ηνοουμενων (om η) e ηνοουμενη f η νοουμενη l vulg || 2–3 η τελευταια] om η l vulg || 5–6 ουκ εστιν...ονομαζομεν παθος om vulg || 6 θανατον ονομαζομεν] παθος προσαγορευομεν g[1] || 7 διακρινεται] desinit euth || 10 καταμιχθεντος l vulg || 11 om τε f || 12 συγκραματος h

2. ἢ ἡνωμένων] The text, which is a conjecture of Krabinger, explains the origin of the various corruptions found in all the MSS. See *app. crit.*

10–11. καταμιχθέντα] sc. τὸν θεόν. The common text (as also Krab.) reads καταμιχθέντος and inserts a comma after νοερόν.

12. τοῦ ἀ. συγκρίματος] depends on τὸ αἰσθητὸν...καὶ τὸ νοερόν, '*the sensible and the intelligible element belonging to concrete human nature.*'

13. συναναμράσεως] Cp. *antea* c. 11 p. 57 ἀνάκρασις (note).

ib. τοῦτο] refers to τὸ...καὶ εἰς ἀεὶ διαμεῖναι τὴν ἕνωσιν, i.e. that the union once formed should also (καὶ) be eternal. The subj. of οἰκονομήσασθαι is τὸν θεόν, already referred to in καταμιχθέντα. The purpose of the union of God and man in the Incarnation was to effect the eternal union of body and soul in mankind. That union had been disturbed by the occurrence of death. The Divine Power, acting as a kind of cement (καθάπερ τινὶ κόλλῃ), recombined the severed elements and restored to man his original grace of immortality.

16. διὰ τῆς ἰδίας ἀκολουθίας] It might seem from these words as though Gr. held that death was natural to man. But as he has already stated in c. 8 that death was a later feature of human existence, he must be thinking of human nature as it now exists.

συνῆψε τὰ διακριθέντα, καθάπερ τινὶ κόλλῃ, τῇ θείᾳ λέγω δυνάμει, πρὸς τὴν ἄρρηκτον ἕνωσιν τὸ διασχισθὲν συναρμόσας. καὶ τοῦτό ἐστιν ἡ ἀνάστασις, ἡ τῶν συνεζευγμένων μετὰ τὴν διάλυσιν ἐπάνοδος εἰς ἀδιάλυτον ἕνωσιν, ἀλλήλοις συμφυομένων, ὡς ἂν ἡ πρώτη περὶ τὸ ἀνθρώπινον χάρις ἀνακληθείη, καὶ πάλιν ἐπὶ τὴν ἀίδιον ἐπανέλθοιμεν ζωήν, τῆς ἐμμιχθείσης τῇ φύσει κακίας διὰ τῆς διαλύσεως ἡμῶν ἐκρυείσης, οἷον ἐπὶ τοῦ ὑγροῦ συμβαίνει, περιτρυφθέντος αὐτῷ τοῦ ἀγγείου, σκεδαννυμένου τε καὶ ἀφανιζομένου, μηδενὸς ὄντος τοῦ περιστέγοντος. καθάπερ δὲ ἡ ἀρχὴ τοῦ θανάτου ἐν ἑνὶ γενομένη πάσῃ συνδιεξῆλθε τῇ ἀνθρωπίνῃ φύσει, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀρχὴ τῆς ἀναστάσεως δι' ἑνὸς ἐπὶ πᾶσαν διατείνει τὴν ἀνθρωπότητα. ὁ γὰρ τὴν ἀναληφθεῖσαν παρ' ἑαυτοῦ ψυχὴν πάλιν ἑνώσας τῷ οἰκείῳ σώματι διὰ τῆς δυνάμεως ἑαυτοῦ τῆς ἑκατέρῳ τούτων παρὰ τὴν πρώτην σύστασιν ἐμμιχθείσης οὕτω γενικωτέρῳ

1–2 θεια δυναμει λεγω f || 2 αρρητον deghnp || 6 επανελθωμεν d || 8 περιθρυφθεντος l vulg περιτριφθεντος defghnp || 10 καθαπερ δε] καθ. γαρ eg^{1}h || 15 εαυτου] αυτου el vulg || 16 ουτω] ουτος f vulg

4–5. ἀλλ. συμφυομένων] an additional clause agreeing with τῶν συνεζευγμένων and having a predicative force. '*The return, after dissolution, of elements that had been united together, to an indissoluble union, so that they are knit together.*'

8. περιτρυφθέντος] The almost unanimous verdict of the MSS is in favour of περιτριφθέντος. As Gr. however in c. 8 has already used περιθρύψαι in reference to the same illustration, Krabinger's conjecture περιτρυφθέντος is probably right. The reading of *l* and the Paris editors is a less correct way of spelling the word.

10. καθάπερ δέ] Cp. Rom. v 15, 1 Cor. xv 21.

15. ἑκατέρῳ] The Divine Power was united alike to the human soul and the body of Christ at their first framing, i.e. from the moment of conception. It was the action of this same Divine Power which effected the reunion of His body and soul in the resurrection.

16 f. γενικωτέρῳ τινὶ λόγῳ] Γενικός is that which belongs to the γένος, 'generic,' as opposed to εἰδικός 'specific.' The contrast is between the particular instance of a reunion of soul and body effected by Christ's Divine Power, i.e. His own resurrection, and the reunion upon 'a more universal scale' of the intelligible and sensible elements exhibited in the resurrection of all mankind. Krabinger translates γεν. λόγῳ 'generaliori quadam ratione,' following the Latin version of the Paris edition.

τινὶ λόγῳ τὴν νοερὰν οὐσίαν τῇ αἰσθητῇ συγκατέμιξεν, τῆς ἀρχῆς κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ πέρας εὐοδουμένης. ἐν γὰρ τῷ ἀναληφθέντι παρ' αὐτοῦ ἀνθρώπῳ πάλιν μετὰ τὴν διάλυσιν πρὸς τὸ σῶμα τῆς ψυχῆς ἐπανελθούσης, οἷον ἀπό τινος ἀρχῆς εἰς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν τῇ δυνάμει κατὰ τὸ ἴσον ἡ τοῦ διακριθέντος ἕνωσις διαβαίνει. καὶ τοῦτό ἐστι τὸ μυστήριον τῆς τοῦ θεοῦ περὶ τὸν θάνατον οἰκονομίας καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, τὸ διαλυθῆναι μὲν τῷ θανάτῳ τοῦ σώματος τὴν ψυχὴν κατὰ τὴν ἀναγκαίαν τῆς φύσεως ἀκολουθίαν μὴ κωλῦσαι, εἰς ἄλληλα δὲ πάλιν ἐπαναγαγεῖν διὰ τῆς ἀναστάσεως, ὡς ἂν αὐτὸς γένοιτο μεθόριον ἀμφοτέρων, θανάτου τε καὶ ζωῆς, ἐν ἑαυτῷ μὲν στήσας διαιρουμένην τῷ θανάτῳ τὴν φύσιν, αὐτὸς δὲ γενόμενος ἀρχὴ τῆς τῶν διηρημένων ἑνώσεως.

1 λογω τινι d τινι τροπω vulg || την νοεραν] om την vulg || 3 ανθρωπω] ανθρωπινω συγκριματι l vulg || 8 θανατον] ανθρωπον vulg Thdrt$^{\text{tirm}}$ || 10 και την αναγκ. l vulg || 13 διαιρεθεισαν deghnp

1. οὐσίαν] For this sense of οὐσία cp. *antea* c. 6.

1–2. τῆς ἀρχῆς] '*as the principle successfully makes its way in due sequence to the extremity.*' Ἡ ἀρχή is the new principle of life originated by Christ in His resurrection. This new principle pervades the whole of humanity to its furthest limits. For the relation of Gr.'s teaching to that of Methodius see *Introd.* pp. xxv—xxviii.

3. ἀνθρώπῳ] here used loosely for human nature. Strictly speaking the Son of God assumed not 'a man' but human nature. The inaccuracy of the expression has led to the gloss ἀνθρωπίνῳ συγκρίματι. For ὁ ἄνθρωπος used in this sense cp. Greg. Naz. *Or.* xxx 7 τὸ γὰρ δὴ λέγειν, ὅτι τοῦ κατὰ τὸν ἄνθρωπον νοουμένου μείζων, ἀληθὲς μέν, οὐ μέγα δέ. Cp. *ibid.* 12 εἰ μὲν οὖν μὴ παρὰ τοῦ καταλυθέντος αὐτοῦ ταῦτα ἐλέγετο, εἴπομεν ἂν ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον. See Dr Mason's notes on both passages and in *Introd.* pp. xvii—xviii.

5. οἷον] '*the union of what was disunited, as it were by some new principle, extends potentially in an equal degree to the whole of human nature.*' For τῇ δυνάμει cp. c. 37 ἐκεῖνο.τὸ σῶμα ἄρτος τῇ δυνάμει ἦν.

7. καὶ τοῦτο] These words as far as ἐπαναγαγεῖν διὰ τῆς ἀναστάσεως are quoted by Theodoret *Dial.* iii p. 300 (Migne).

12. μεθόριον] lit.: 'border country,' Lat. *confinium*. Hence used of a common ground or meeting-point, as here. In Christ life and death meet. He identified Himself with a nature liable to death and dissolution, and He became the source of life to it.

13. στήσας] '*staying our nature,*' in the sense of arresting the process of dissolution (διαιρουμένην). Human nature is conceived of as something which was in danger of melting away. With the v.l. διαιρεθεῖσαν we might translate, 'having set up' or 're-established' it when it had been dissolved.

17. Ἀλλ' οὕπω φήσει τις λελύσθαι τὴν ὑπενεχθεῖσαν ἡμῖν ἀντίθεσιν, ἰσχυροποιεῖσθαι δὲ μᾶλλον ἐκ τῶν εἰρημένων τὸ παρὰ τῶν ἀπίστων ἡμῖν προφερόμενον. εἰ γὰρ τοσαύτη δύναμίς ἐστιν ἐν αὐτῷ, ὅσην ὁ λόγος ἐπέδειξεν, ὡς θανάτου τε καθαίρεσιν καὶ ζωῆς εἴσοδον ἐπ' αὐτῷ εἶναι, τί οὐχὶ θελήματι μόνῳ τὸ κατὰ γνώμην ποιεῖ, ἀλλ' ἐκ περιόδου τὴν σωτηρίαν ἡμῶν κατεργάζεται, τικτόμενός τε καὶ τρεφόμενος, καὶ τῇ τοῦ θανάτου πείρᾳ σώζων τὸν ἄνθρωπον, ἐξὸν μήτε ἐν τούτοις γενέσθαι καὶ ἡμᾶς περισώσασθαι; πρὸς δὲ τὸν τοιοῦτον λόγον ἱκανὸν μὲν ἦν πρὸς τοὺς εὐγνώμονας τοσοῦτον εἰπεῖν, ὅτι καὶ τοῖς ἰατροῖς οὐ νομοθετοῦσι τὸν τρόπον τῆς ἐπιμελείας οἱ κάμνοντες, οὐδὲ περὶ τοῦ τῆς θεραπείας εἴδους πρὸς τοὺς εὐεργέτας ἀμφισβητοῦσι, διὰ τί προσήψατο τοῦ πονοῦντος μέρους ὁ θεραπεύων καὶ τόδε τι πρὸς τὴν τοῦ κακοῦ λύσιν ἐπενόησεν, ἕτερον δέον, ἀλλὰ πρὸς τὸ πέρας ὁρῶντες τῆς εὐεργεσίας ἐν εὐχαριστίᾳ τὴν εὐποιίαν ἐδέξαντο. ἀλλ' ἐπειδή, καθώς φησιν ἡ προφητεία, τὸ πλῆθος τῆς χρηστότητος τοῦ θεοῦ κεκρυμμένην ἔχει τὴν ὠφέλειαν καὶ οὔπω διὰ τοῦ παρόντος βίου τηλαυγῶς

17. 1 υπενεχθ.] επενεχθ. h ‖ 4 απεδειξεν el vulg ‖ 5 om τε f ‖ επ αυτω] εν αυτω f ‖ 9 τουτω l vulg ‖ 15 ενενοησεν fl vulg ‖ 17 η προφ.] ο προφητης l vulg

17. *Gr. now returns to the objection stated in c.* 15. '*Why did not God restore man by a mere fiat?*' *It is a sufficient reply, he answers, to those who are reasonable, to say that just as a patient does not dictate to his physician the treatment to be applied, or criticise the method of his cure, but, looking to the object in view, thankfully receives his attention, so we must look to the beneficent purpose of the Incarnation and await fuller light than we can receive in this life.*

1. ὑπενεχθεῖσαν] in the sense of 'submit,' 'suggest.'

5. ἐπ' αὐτῷ] '*in his power.*'

6. ἐκ περιόδου] '*by a roundabout way.*' Cp. c. 15 μακρὰς περιέρχεται περιόδους (note), and c. 26. Gr. is thinking of the length of the process involved in τίκτεσθαί τε καὶ τρέφεσθαι.

8. πείρᾳ] 'the experience of death.'

10. εὐγνώμ.] '*well-disposed,*' '*reasonable.*'

17. προφητεία] For the use of προφ. in reference to the Psalms cp. c. 8. The reference is to Ps. xxx [xxxi] 20 (LXX) ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. '*Since, as says the prophecy, the plentifulness of God's goodness benefits us in a hidden manner.*'

καθορᾶται· ἦ γὰρ ἂν περιῄρητο πᾶσα τῶν ἀπίστων ἀντίρρησις, εἰ τὸ προσδοκώμενον ἐν ὀφθαλμοῖς ἦν· νυνὶ δὲ ἀναμένει τοὺς ἐπερχομένους αἰῶνας, ὥστε ἐν αὐτοῖς ἀποκαλυφθῆναι τὰ νῦν διὰ τῆς πίστεως μόνης ὁρώμενα· ἀναγκαῖον ἂν εἴη λογισμοῖς τισὶ κατὰ τὸ ἐγχωροῦν καὶ τῶν ἐπιζητουμένων ἐξευρεῖν τὴν λύσιν τοῖς προλαβοῦσι συμβαίνουσαν.

18. Καί τοι περιττὸν ἴσως ἐστὶ θεὸν ἐπιδεδημηκέναι τῷ βίῳ πιστεύσαντας διαβάλλειν τὴν παρουσίαν, ὡς οὐκ ἐν σοφίᾳ τινὶ καὶ λόγῳ γενομένην τῷ κρείττονι. τοῖς γὰρ μὴ λίαν ἀντιμαχομένοις πρὸς τὴν ἀλήθειαν οὐ μικρὰ τῆς θείας ἐπιδημίας ἀπόδειξις ἡ καὶ πρὸ τῆς μελλούσης ζωῆς ἐν τῷ παρόντι βίῳ φανερωθεῖσα, ἡ διὰ τῶν πραγμάτων αὐτῶν

1 αντιρρησις] αντιθεσις f || 3 επερχ.] υπερχ. vulg || 6 προλαμβανουσι l vulg **18.** 9 πιστευοντας e || 10 γινομενην f γεγενημενην vulg || 13 αυτων πραγμ. deghnp

3. ἀναμένει] The subj. is τὸ προσδοκώμενον, the whole passage ἦ γὰρ ἄν...μόνης ὁρώμενα being a parenthesis.

5–6. καὶ τῶν ἐπιζητ.] '*to find for the questions before us a solution that is in accord with what has preceded.*' The καί coordinates τὰ ἐπιζ. with τὰ προλαβ. Instead of discussing any further the manner of the Incarnation Gr. proposes to show the beneficence of the end aimed at. In what follows he shows first of all its results as testified by facts, and then its harmony with current conceptions of God's attributes.

18. *It is superfluous to criticize the manner of Christ's appearance, when we have the testimony of facts as to its effects. The cessation of heathen worship, oracles, and sacrifices, the disappearance of heathen altars, temples, and idols, the rising throughout the world of temples and altars to the name of Christ, the witness of Christian worship, and the lives of Christian martyrs are evidences of the power of Christ's appearing. The Jews, too, have a sign in the disappearance of their temple and its worship, and the desolation of Jerusalem.*

9. τὴν παρουσίαν] Cp. c. 19 θείας παρουσίας. Other terms used by Gr. to denote the Incarnation are ἐπιδημία (*infra*), θεοφάνεια (*infra*), συγκατάβασις (c. 24) and οἰκονομία which occurs repeatedly.

ib. ὡς οὐκ] '*on the ground that it was not effected in the way of what we think to be wisdom and of superior reason.*' There is irony both in τινί and in τῷ κρείττονι.

12. τῆς μελλούσης] an allusion to the words of the preceding chapter: ἀναμένει τοὺς ἐπερχομένους αἰῶνας ὥστε ἐν αὐτοῖς ἀποκαλυφθῆναι τὰ νῦν διὰ τῆς πίστεως μόνης ὁρώμενα. Here Gr. maintains that even in the present life we can see from the evidence of facts the results of Christ's Incarnation.

φημὶ μαρτυρία. τίς γὰρ οὐκ οἶδεν ὅπως πεπλήρωτο κατὰ πᾶν μέρος τῆς οἰκουμένης ἡ τῶν δαιμόνων ἀπάτη, διὰ τῆς εἰδωλομανίας τῆς ζωῆς τῶν ἀνθρώπων κατακρατήσασα· ὅπως τοῦτο νόμιμον πᾶσι τοῖς κατὰ τὸν κόσμον ἔθνεσιν ἦν, τὸ θεραπεύειν διὰ τῶν εἰδώλων τοὺς δαίμονας ἐν ταῖς ζωοθυσίαις καὶ τοῖς ἐπιβωμίοις μιάσμασιν; ἀφ' οὗ δέ, καθώς φησιν ὁ ἀπόστολος, ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, διὰ τῆς ἀνθρωπίνης ἐπιδημήσασα φύσεως, πάντα καπνοῦ δίκην εἰς τὸ μὴ ὂν μετεχώρησεν, ὥστε παύσασθαι μὲν τὰς τῶν χρηστηρίων τε καὶ μαντειῶν μανίας, ἀναιρεθῆναι δὲ τὰς ἐτησίους πομπὰς καὶ τὰ δι' αἱμάτων ἐν ταῖς ἑκατόμβαις μολύσματα, ἐν δὲ τοῖς πολλοῖς τῶν ἐθνῶν ἀφανισθῆναι καθ' ὅλου βωμοὺς καὶ προπύλαια καὶ τεμένη καὶ ἀφιδρύματα καὶ ὅσα ἄλλα τοῖς θεραπευταῖς τῶν δαιμόνων ἐπὶ ἀπάτῃ σφῶν αὐτῶν καὶ τῶν ἐντυγχανόντων ἐπετηδεύετο, ὡς ἐν πολλοῖς τῶν τόπων μηδέ, εἰ γέγονε ταῦτά ποτε, μνημονεύεσθαι, ἀντεγερθῆναι δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπὶ τῷ τοῦ Χριστοῦ ὀνόματι ναούς τε καὶ θυσιαστήρια καὶ τὴν σεμνήν τε καὶ

6 μιασμασιν] αιμασιν d || ου] ων e || 13 βωμους] τους β. f+τε vulg || 15 απατης vulg || 16 επιτετηδευτο g[1]l vulg || 18 om του vulg || 19 ναους και θ. deghnp

1. πεπλήρωτο] 'had fully prevailed.' Athanasius (*de Inc.* 13, 14) has a similar passage on the influence of evil spirits in the pagan world. The prevalent practice of idolatry enabled the evil spirits to 'get the mastery' (κατακρατήσασα) over human life. For the absence of the augment in πεπλήρωτο see Blass *Gramm. of N. T. Greek* (Eng. Tr.) p. 37.

5. θεραπεύειν ... δαίμονας] Cp. 1 Cor. x 20.

7. ὁ ἀπόστολος] Tit. ii 11.

8. διὰ τῆς ἀνθρ.] For this use of διά cp. c. 12 τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος θεοῦ (note).

10. παύσασθαι] The whole of this passage recalls the similar treatment of the decay of paganism in Ath. *de Inc.* 46 foll.

11. πομπάς] For these processions see Lightfoot's note on Ign. *Eph.* 9.

13. βωμούς] contrasted with θυσιαστήρια below. In the LXX βωμός is used almost exclusively with reference to heathen worship. Θυσ. is 'a place of sacrifice,' 'the altar and its precincts.' See Westcott *Hebrews* p. 453.

14. προπύλαια κ.τ.λ.] '*porticoes, sacred precincts, shrines.*'

19. σεμνήν τε] '*the revered and unbloody priesthood.*' The Latin translation in the Paris edition has 'venerandum et incruentum sacrificium,' but there is no variation

ἀναίμακτον ἱερωσύνην καὶ τὴν ὑψηλὴν φιλοσοφίαν, ἔργῳ μᾶλλον ἢ λόγῳ κατορθουμένην, καὶ τῆς σωματικῆς ζωῆς τὴν ὑπεροψίαν καὶ τοῦ θανάτου τὴν καταφρόνησιν, ἣν οἱ μεταστῆναι τῆς πίστεως παρὰ τῶν τυράννων ἀναγκαζόμενοι φανερῶς ἐπεδείξαντο, ἀντ' οὐδενὸς δεξάμενοι τὰς τοῦ σώματος αἰκίας, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον, οὐκ ἂν ὑποστάντες δηλαδὴ ταῦτα, μὴ σαφῆ τε καὶ ἀναμφίβολον τῆς θείας ἐπιδημίας ἔχοντες τὴν ἀπόδειξιν. τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς Ἰουδαίους ἱκανόν ἐστι σημεῖον εἰπεῖν τοῦ παρεῖναι τὸν παρ' αὐτῶν ἀπιστούμενον. μέχρι μὲν γὰρ τῆς τοῦ Χριστοῦ θεοφανείας λαμπρὰ παρ' αὐτοῖς ἦν τὰ ἐν Ἱεροσολύμοις βασίλεια, ὁ διώνυμος ἐκεῖνος ναός, αἱ νενο-

9 om εστι vulg || 9–10 του παρειναι] το π. f || 12 περιονυμος f

θυσίαν in the MSS. The expression ἀναίμακτος ἱερωσύνη arises out of the phrase ἡ ἀναίμακτος θυσία, commonly applied by the Fathers to the Eucharist. The earliest example is Athenag. *Suppl. pro Chr.* 13 καίτοι προσφέρειν δέον ἀναίμακτον θυσίαν καὶ τὴν λογικὴν προσάγειν λατρείαν. Cp. Cyr. Hier. *Cat.* xxiii 8 τὴν πνευματικὴν θυσίαν, τὴν ἀναίμακτον λατρείαν. Fronto Ducaeus also quotes Greg. Naz. *Carm.* xi 1 and xii 1 Ὦ θυσίας πέμποντες ἀναιμάκτους ἱερῆες.

1. ὑψηλὴν φιλοσοφίαν] Krabinger understands this as='vitam asceticam et monasticam' and refers to Greg. Naz. *Or.* xxv p. 1204 (Migne). The word is certainly found very commonly after the time of Eusebius in this technical sense (see Hort *Jud. Christianity* p. 121, and Suicer *sub voce*), but it is also used quite generally of the pursuit of a holy life and the practice of the Christian religion. For Gr.'s use of the word in this sense cp. *de Baptismo* p. 420 (Migne) πολλοὺς χρόνους ἐχαρίσω τῇ ἡδονῇ· δὸς καὶ τῇ φιλοσοφίᾳ σχολήν. ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον κ.τ.λ. Similarly Chrysostom, *Hom.* lxxxiii *in Joh.* p. 447 (Migne), says φρικτὸν ὁ θάνατος...ἀλλ' οὐ παρὰ τοῖς τὴν ἄνω φιλοσοφίαν εἰδόσι.

2. κατορθουμένην] '*the pursuit of which consists in action more than in speech.*' For κατορθοῦν=*colere, alicui rei studere*, cp. Chrys. *Hom.* x *in Ep. ad Philipp.* c. 4 εὐκολώτερον μᾶλλον διὰ τῆς πενίας ἡ ἀρετὴ κατορθοῦται. For the sentiment cp. Min. Felix *Octav.* c. 38, non eloquimur magna, sed vivimus.

3. ὑπεροψίαν] Cp. the similar language of Athanasius *de Inc.* c. 48, and for the contempt of death *ibid.* c. 27.

9. σημεῖον] There is a similar passage, in which the fate of the Jews is regarded as a sign that they have been punished for their rejection of Christ, in Origen *c. Celsum* iv 22.

11–12. τὰ βασίλεια] Gr. introduces this mention of the 'palaces' to show the outward splendour of the city. He is thinking, doubtless, of Herod's palace, which surpassed even the Temple in magnificence.

12. διώνυμος] '*far-famed.*'

μισμέναι δι' ἔτους θυσίαι, πάντα ὅσα παρὰ τοῦ νόμου δι' αἰνιγμάτων τοῖς μυστικῶς ἐπαίειν ἐπισταμένοις διῄρηται, μέχρι τότε κατὰ τὴν ἐξ ἀρχῆς νομισθεῖσαν αὐτοῖς τῆς εὐσεβείας θρησκείαν ἀκώλυτα ἦν. ἐπεὶ δὲ εἶδον τὸν προσδοκώμενον, ὃν διὰ τῶν προφητῶν τε καὶ τοῦ νόμου προεδιδάχθησαν, καὶ προτιμοτέραν ἐποιήσαντο τῆς εἰς τὸν φανέντα πίστεως τὴν λοιπὸν ἐσφαλμένην ἐκείνην δεισιδαιμονίαν, ἣν κακῶς ἐκλαβόντες, τὰ τοῦ νόμου ῥήματα διεφύλασσον, συνηθείᾳ μᾶλλον ἢ διανοίᾳ δουλεύοντες, οὔτε τὴν ἐπιφανεῖσαν ἐδέξαντο χάριν, καὶ τὰ σεμνὰ τῆς παρ' αὐτοῖς θρησκείας ἐν διηγήμασι ψιλοῖς ὑπολείπεται, τοῦ ναοῦ μὲν οὐδὲ ἐξ ἰχνῶν ἔτι γινωσκομένου, τῆς δὲ λαμπρᾶς ἐκείνης πόλεως ἐν ἐρειπίοις ὑπολειφθείσης, μεῖναι δὲ τοῖς Ἰουδαίοις τῶν κατὰ τὸ ἀρχαῖον νενομισμένων μηδέν, ἀλλὰ καὶ αὐτὸν τὸν σεβάσμιον αὐτοῖς ἐν Ἱεροσολύμοις τόπον ἄβατον προστάγματι τῶν δυναστευόντων γενέσθαι.

2 μυστικοις vulg || δυναμενοις vulg || 3 μεχρι] a μεχρις f || 5 και ον l vulg || 7 λοιπην h om λοιπον fl vulg || om εκεινην f || 8 εκβαλοντες l* vulg || 11 υπολελειπται l vulg || 12 ετι γιν.] επιγιν. l vulg || 13 δε] τε vulg || 15 τον εν ιερ. fg

1–2. δι' αἰνιγμάτων] '*all that the Law had marked out in veiled language for those who were able to understand the inner meaning.*' For δι' αἰνιγμάτων cf. c. 8. Ἐπαίειν, a somewhat poetical word, used by Plato. Cp. *Legg.* 701 A. Διῄρηται, 'defined,' 'expressed.'

3. κατὰ τὴν] '*according to the ritual of their religion which had been enjoined upon them from the beginning.*'

7–8. δεισιδαιμονίαν] '*that which was henceforth a mistaken superstition.*' The clinging to Judaism after the coming of Christ turned their religion into a superstition.

8. ἐκλαβόντες] in the sense of 'interpret.' The Jews had failed to interpret the meaning of their own religion which was intended to prepare them to welcome Christ.

9–10. οὔτε τὴν ἐπιφ.] These words introduce the apodosis of the sentence which began with ἐπεί. The Jews failed to accept the new religion of grace, and the practice of their former religion became a mere matter of history. Krabinger, however, makes the apodosis begin with καὶ τὰ σεμνὰ κ.τ.λ.

11. ἐν διηγ. ψιλ.] '*in mere narratives,*' i.e. in narratives and nothing more. For διηγ. cp. 2 Macc. ii 24 τοῖς τῆς ἱστορίας διηγήμασιν.

13. μεῖναι δέ] The grammar is in some confusion. The clauses following ὑπολείπεται are explanatory, and the infinitive is used as though ὥστε had followed ὑπολείπεται.

16. δυναστευόντων] After the Jewish revolt in A.D. 134 Hadrian decreed that the Jews were to be

19. Ἀλλ' ὅμως, ἐπειδὴ μήτε τοῖς ἑλληνίζουσι μήτε τοῖς τῶν Ἰουδαικῶν προεστῶσι δογμάτων δοκεῖ ταῦτα θείας παρουσίας ποιεῖσθαι τεκμήρια, καλῶς ἂν ἔχοι περὶ τῶν ἀνθυπενεχθέντων ἡμῖν ἰδίᾳ τὸν λόγον διαλαβεῖν, ὅτου χάριν ἡ θεία φύσις πρὸς τὴν ἡμετέραν συμπλέκεται, δι' ἑαυτῆς σώζουσα τὸ ἀνθρώπινον, οὐ διὰ προστάγματος κατεργαζομένη τὸ κατὰ πρόθεσιν. τίς οὖν ἂν γένοιτο ἡμῖν ἀρχὴ πρὸς τὸν προκείμενον σκοπὸν ἀκολούθως χειραγωγοῦσα τὸν λόγον; τίς ἄλλη ἢ τὸ τὰς εὐσεβεῖς περὶ τοῦ θεοῦ ὑπολήψεις ἐπὶ κεφαλαίων διεξελθεῖν;

20. Οὐκοῦν ὁμολογεῖται παρὰ πᾶσι μὴ μόνον δυνατὸν εἶναι δεῖν πιστεύειν τὸ θεῖον, ἀλλὰ καὶ δίκαιον καὶ ἀγαθὸν καὶ σοφὸν καὶ πᾶν ὅ τι πρὸς τὸ κρεῖττον τὴν διάνοιαν φέρει. ἀκόλουθον τοίνυν ἐπὶ τῆς παρούσης οἰκονομίας μὴ τὸ μέν τι βούλεσθαι τῶν τῷ θεῷ πρεπόντων ἐπιφαίνεσθαι

19. 3 ποιεισθαι] ειναι f ‖ 4 om ημιν l vulg ‖ 8 προκειμ.]+ημιν e ‖ 9 om του df **20.** 13 η διανοια l vulg

excluded from Jerusalem. The decree was still in existence in the time of Constantine (Eus. *H. E.* iv 6), but later on the Jews were allowed to visit the city. See Hastings' *Dict. of Bible*, art. *Jerusalem*.

19. *But as neither Greeks nor Jews will listen to the preceding arguments, we must pursue further our enquiry into the causes and method of the Incarnation. We will begin by showing its relation to current conceptions of God.*

2. δοκεῖ] '*think fit to make these things proofs of a Divine presence*.'

4. τὸν λόγον διαλ.] Τὸν λόγον is the subject. Διαλαβεῖν = 'to state clearly,' 'to discuss.'

5. δι' ἑαυτῆς] i.e. τῆς θείας φύσεως. The phrase is somewhat elliptical. The personal presence of God is contrasted with the external command.

8. χειραγωγοῦσα] '*conducting our argument by a proper chain of reasoning to the conclusion which we have set before us*.'

20. *The general conception of God includes the ideas of His power, justice, goodness, and wisdom. The absence of any one of these is destructive to the perfection of the others and to the perfection of the Divine Being. In the Incarnation there is an exhibition of all these attributes. His goodness was shown in His desire to save us, His wisdom in the order and sequence of events by which His purpose was carried out. In what follows Gr. proposes to discuss more fully the wisdom and justice of the Incarnation.*

14. παρούσης οἰκονομίας] i.e. the Incarnation which is 'present' as being under present consideration, corresponding to ἡ κατὰ ἄνθρωπον οἰκονομία below.

15. τὸ μέν τι βούλ.] '*it is not reasonable that one or another of the attributes of God should tend to be*

τοῖς γεγενημένοις, τὸ δὲ μὴ παρεῖναι· καθ' ὅλου γὰρ οὐδὲν ἐφ' ἑαυτοῦ τῶν ὑψηλῶν τούτων ὀνομάτων διεζευγμένον τῶν ἄλλων ἀρετὴ κατὰ μόνας ἐστίν· οὔτε τὸ ἀγαθὸν ἀληθῶς ἐστὶν ἀγαθόν, μὴ μετὰ τοῦ δικαίου τε καὶ σοφοῦ καὶ τοῦ δυνατοῦ τεταγμένον· τὸ γὰρ ἄδικον ἢ ἄσοφον ἢ ἀδύνατον ἀγαθὸν οὐκ ἔστιν· οὔτε ἡ δύναμις τοῦ δικαίου τε καὶ σοφοῦ κεχωρισμένη ἐν ἀρετῇ θεωρεῖται· θηριῶδες γάρ ἐστι τὸ τοιοῦτον καὶ τυραννικὸν τῆς δυνάμεως εἶδος. ὡσαύτως δὲ καὶ τὰ λοιπά, εἰ ἔξω τοῦ δικαίου τὸ σοφὸν φέροιτο, ἢ τὸ δίκαιον, εἰ μὴ μετὰ τοῦ δυνατοῦ τε καὶ τοῦ ἀγαθοῦ θεωροῖτο, κακίαν ἄν τις μᾶλλον κυρίως τὰ τοιαῦτα κατονομάσειεν· τὸ γὰρ ἐλλιπὲς τοῦ κρείττονος πῶς ἄν τις ἐν ἀγαθοῖς ἀριθμήσειεν; εἰ δὲ πάντα προσήκει συνδραμεῖν ἐν ταῖς περὶ θεοῦ δόξαις, σκοπήσωμεν εἴ τινος ἡ κατὰ ἄνθρωπον οἰκονομία λείπεται τῶν θεοπρεπῶν ὑπολήψεων. ζητοῦμεν πάντως ἐπὶ τοῦ θεοῦ τῆς ἀγαθότητος τὰ σημεῖα. καὶ τίς ἂν γένοιτο φανερωτέρα τοῦ ἀγαθοῦ μαρτυρία ἢ τὸ μεταποιηθῆναι αὐτὸν τοῦ πρὸς τὸ ἐναντίον αὐτομολήσαντος, μηδὲ συνδιατεθῆναι τῷ εὐμεταβλήτῳ τῆς ἀνθρωπίνης προαιρέσεως τὴν παγίαν ἐν τῷ ἀγαθῷ καὶ ἀμετάβλητον φύσιν; οὐ γὰρ ἂν ἦλθεν εἰς τὸ σῶσαι ἡμᾶς, καθὼς φησιν ὁ Δαβίδ,

9 δικαιου]+και dehn || 10 δυνατου] σοφου f || 10–11 του αγαθ.] om του f || 11 τα τοι. κυριως l vulg || 13 δε]+και f || 14 om τινος vulg || 15 ανθρωπον]+του θεου l vulg || λειπεται]+τι vulg

manifested in the history, while another is absent.' For this use of βούλεσθαι cp. Arist. *Pol.* 2. 6. 18 μᾶλλον δ' ἐγκλίνειν βούλεται πρὸς τὴν ὀλιγαρχίαν.

1. καθ' ὅλου γάρ] No one of the 'lofty titles' applied to God constitutes by itself a virtue. It needs to be perfected by association with other qualities. We cannot conceive of 'unjust,' 'unwise,' or 'impotent' goodness. Similarly power, when divorced from justice and wisdom, is brutal and tyrannical.

14–15. ἡ κατὰ ἀνθρ. οἰκ.] Cp. c. 5 *init.* (note).

18. μεταποιηθῆναι] '*lay claim to.*' Cp. Thucyd. i 40 τῆς ξυνέσεως μεταποιεῖσθαι.

19. μηδὲ συνδ.] '*and that the nature which is fixed in goodness and unchanging should not be affected by the changeable will of man.*' The idea is that God did not permit man's changed attitude towards Him to alter His fixed purpose of goodness.

21. ὁ Δαβίδ] Krabinger refers to such passages as Ps. cv [cvi] 4—5; cxviii [cxix] 65, 66, 68 (LXX). The

μὴ ἀγαθότητος τὴν τοιαύτην πρόθεσιν ἐμποιούσης. ἀλλ' οὐδὲν ἂν ὤνησε τὸ ἀγαθὸν τῆς προθέσεως, μὴ σοφίας ἐνεργὸν τὴν φιλανθρωπίαν ποιούσης. καὶ γὰρ ἐπὶ τῶν ἀρρώστως διακειμένων πολλοὶ μὲν ἴσως οἱ βουλόμενοι μὴ ἐν κακοῖς εἶναι τὸν κείμενον, μόνοι δὲ τὴν ἀγαθὴν ὑπὲρ τῶν καμνόντων προαίρεσιν εἰς πέρας ἄγουσιν, οἷς τεχνική τις δύναμις ἐνεργεῖ πρὸς τὴν τοῦ κάμνοντος ἴασιν. οὐκοῦν τὴν σοφίαν δεῖ συνεζεῦχθαι πάντως τῇ ἀγαθότητι. πῶς τοίνυν ἐν τοῖς γεγενημένοις τὸ σοφὸν τῷ ἀγαθῷ συνθεωρεῖται; ὅτι οὐ γυμνὸν τὸ κατὰ πρόθεσιν ἀγαθὸν ἔστιν ἰδεῖν. πῶς γὰρ ἂν φανείη ἡ πρόθεσις, μὴ διὰ τῶν γιγνομένων φανερουμένη; τὰ δὲ πεπραγμένα εἰρμῷ τινὶ καὶ τάξει δι' ἀκολούθου προιόντα τὸ σοφόν τε καὶ τεχνικὸν τῆς οἰκονομίας τοῦ θεοῦ διαδείκνυσιν. ἐπεὶ δέ, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, πάντως τῷ δικαίῳ τὸ σοφὸν συνεζευγμένον ἀρετὴ γίγνεται, εἰ δὲ χωρισθείη, μὴ ἂν ἐφ' ἑαυτοῦ κατὰ μόνας ἀγαθὸν εἶναι, καλῶς ἂν ἔχοι καὶ ἐπὶ τοῦ λόγου

7 συνεργει fl vulg ‖ 15 τω σοφω το δικ. e ‖ 17 κατα μοναs] καταμενη vulg

first passage speaks of God's εὐδοκία. The remaining passages dwell upon His χρηστότης.

1–2. ἀλλ' οὐδέν] Gr. proceeds to show that the Incarnation was an exhibition of wisdom as well as goodness. This wisdom was displayed in the connexion and orderly sequence of the events of the Incarnation. But as perfect wisdom is associated with justice, the two must be considered together in treating of the Incarnation. Accordingly the whole of cc. 21 and 22, and the greater part of c. 23, deal with the question of justice, and it is only at the close of c. 23 that Gr. resumes the reference to wisdom.

10. ὅτι οὐ γυμνόν] '*For it is not possible to discern that which is good in purpose apart by itself*,' i.e. apart from its realization in action, as explained in the following words μὴ διὰ τῶν γιγνομένων φανερουμένη.

12. πεπραγμένα] i.e. the events of the Incarnation, which proceeded in due sequence in a certain orderly chain.

13. σοφόν τε καὶ τεχν.] In *prol.* Gr. uses the phrase τῶν τεχνικῶς καὶ σοφῶς...οἰκονομουμένων of creation. Here the words are used of the Divine οἰκονομία in the Incarnation. Gr. gives an illustration of his meaning in c. 23 *sub fin.* τὸ δὲ χωρητὸν δι' ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ τὸ ἀχώρητον τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει, where the meaning of χωρητόν has been previously defined by the words διὰ τῆς τοῦ σώματος περιβολῆς χωρητὴν τὴν θείαν δύναμιν.

15. πάντως] goes with τῷ δ. συνεζευγμένον, 'only on condition of being joined with justice.'

17. εἶναι] The inf. is probably due to the influence of the preceding εἴρηται.

τῆς κατὰ ἄνθρωπον οἰκονομίας τὰ δύο μετ᾽ ἀλλήλων κατανοῆσαι, τὸ σοφόν φημι καὶ τὸ δίκαιον.

21. Τίς οὖν ἡ δικαιοσύνη; μεμνήμεθα πάντως τῶν κατὰ τὸ ἀκόλουθον ἐν τοῖς πρώτοις τοῦ λόγου διῃρημένων ὅτι μίμημα τῆς θείας φύσεως κατεσκευάσθη ὁ ἄνθρωπος, τοῖς τε λοιποῖς τῶν ἀγαθῶν καὶ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως τὴν πρὸς τὸ θεῖον διασώζων ὁμοίωσιν, τρεπτῆς δὲ φύσεως ὢν κατ᾽ ἀνάγκην· οὐ γὰρ ἐνεδέχετο τὸν ἐξ ἀλλοιώσεως τὴν ἀρχὴν τοῦ εἶναι σχόντα μὴ τρεπτὸν εἶναι πάντως· ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος ἀλλοίωσίς τίς ἐστι, τῆς ἀνυπαρξίας κατὰ θείαν δύναμιν εἰς οὐσίαν μεθισταμένης, καὶ ἄλλως δὲ τῆς τροπῆς

21. 4 om πρωτοις f || διηρημ.] ειρημ. 1 vulg συντεταγμ. f || 9 εχοντα df vulg || 10 η γαρ] ει γαρ h || 12 και αλλως...θεωρουμενης om e

21. *Gr. proceeds to show that the Incarnation was an exhibition of justice. Man was made in the likeness of God, but as he was a creature, his nature, unlike that of God, was subject to change. This tendency to change involved movement in the direction of good or of evil. Man's intelligence, further, was liable to illusions as to what was really good. It was by such an illusion that Satan deceived man and enticed him into evil. Thus the two factors in the problem of redemption were, on the one hand, the voluntary bondage of man to Satan, and, on the other, the nature and character of God, including goodness, wisdom, justice, power, immortality &c. God's goodness excited His pity for fallen man, His wisdom supplied the method of recalling him. With wisdom justice was necessarily associated.*

In no part of the *Or. Cat.* is the division of chapters adopted in the Paris edition so arbitrary and unfortunate as in the section which includes the present and the two following chapters. The long and involved sentence in the present chapter, which begins ἐν τούτῳ τοίνυν τῆς ἑτερότητος, and which is not finally resumed until the words πάντα μοι κ.τ.λ. towards the close of the chapter, is broken up by the Paris editors, who begin c. 22 with the words ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως. The same division is found in MSS *b, e, f.* To c. 21 (20 in the enumeration of these MSS) they prefix the colophon: ὅτι μίμημα τῆς θείας φύσεως κατασκευασθεὶς ὁ ἄνθρωπος τρεπτῆς ἐστι καὶ ἀλλοιωτῆς φύσεως. Opposite the words ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως they mark the beginning of a new chapter (21) with the heading: ὅτι τραπέντα τὸν ἄνθρωπον οὐ τυραννικῶς ἀλλὰ δικαιολόγως ἐλυτρώσατο. The division of chapters adopted here is that of Krabinger.

4. ἐν τοῖς πρώτοις] i.e. c. 5.

7. διασώζων ὁμοίωσιν] On Gr.'s use of the words εἰκών and ὁμοίωσις see *antea* c. 5 p. 24 (note).

ib. τρεπτῆς δέ] The δέ has an adversative force. '*Yet possessing a changeable nature.*'

12. καὶ ἄλλως] There is another reason why 'change' is necessarily

ἀναγκαίως ἐν τῷ ἀνθρώπῳ θεωρουμένης, ἐπειδὴ μίμημα τῆς θείας φύσεως ὁ ἄνθρωπος ἦν· τὸ δὲ μιμούμενον, εἰ μὴ ἐν ἑτερότητι τύχοι τινί, ταὐτὸν ἂν εἴη πάντως ἐκείνῳ, ᾧ ἀφωμοίωται. ἐν τούτῳ τοίνυν τῆς ἑτερότητος τοῦ κατ' εἰκόνα γενομένου πρὸς τὸ ἀρχέτυπον οὔσης, ἐν τῷ τὸ μὲν ἄτρεπτον εἶναι τῇ φύσει, τὸ δὲ μὴ οὕτως ἔχειν, ἀλλὰ δι' ἀλλοιώσεως μὲν ὑποστῆναι κατὰ τὸν ἀποδοθέντα λόγον, ἀλλοιούμενον δὲ μὴ πάντως ἐν τῷ εἶναι μένειν· ἡ δὲ ἀλλοίωσις κίνησίς τίς ἐστιν εἰς ἕτερον ἀπὸ τοῦ ἐν ᾧ ἐστὶν εἰς ἀεὶ προιοῦσα· δύο δὲ τῆς τοιαύτης εἴδη κινήσεως· τὸ μὲν πρὸς τὸ ἀγαθὸν ἀεὶ γιγνόμενον, ἐν ᾧ ἡ πρόοδος στάσιν οὐκ ἔχει, διότι πέρας οὐδὲν τοῦ διεξο-

3 τυχη fg || 6 om τη φυσει d || 8 om μη fhl* vulg || 9 μενειν] μιμημα l* vulg || om τις l vulg || εις ετερον...ω εστιν om f || 10 δυο δε] δυο λεγει l*vid vulg || 12 διεξοδευμενου df

part of human nature. It serves to mark the distinction between God the archetype and man the copy. The word ἄλλως is explained by the clause ἐπειδὴ...ἀφωμοίωται.

4. ἐν τούτῳ τοίνυν] Here begins a long and involved sentence which occupies the rest of the chapter. Gr. begins with a *gen.* absolute τῆς ἑτερότητος...οὔσης, but the main sentence is broken by a long parenthesis on the meaning of ἀλλοίωσις and κίνησις. The sentence is again taken up by the words ἐπειδὴ τοίνυν κατὰ τὴν τρεπτήν, and again broken by the parenthesis καλὸν δὲ τὸ μέν. A fresh beginning is made with the words ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως, but a parenthesis οὐ γὰρ ἂν ...περιπλασθείσης again intervenes. After a fresh start, ἐν ταύτῃ τοίνυν γεγονότος, the apodosis finally begins with the words πάντα μοι κατὰ ταὐτόν.

7. ἀλλὰ δι' ἀλλ.] '*but as it was by a change* (δι' ἀλλοιώσεως μέν) *that it came into existence, so being subject to change* (ἀλλοιούμενον δέ) *it does not and cannot remain in its state of existence.*' In what follows Gr. explains μὴ πάντως ἐν τῷ εἶναι μένειν. By ἀλλοίωσις he means 'a certain movement continually advancing to a different state from that in which a thing is.'

9. ἡ δὲ ἀλλοίωσις] Here begins the first parenthesis extending to the words τῇ ἀνυπαρξίᾳ τὴν ὕπαρξιν.

12. στάσιν] The advance in the direction of good cannot be arrested, 'because there is no boundary to that which is explored,' i.e. there is no limit to the progress in good. Διεξοδ. is passive, 'that which is traversed.' The Latin version of the Paris edd. translates 'ejus quod transit,' which gives no meaning. Krab. translates 'ejus quod evolvitur.' Glauber renders 'weil selbst dasjenige ohne Ende ist, in dem man thätig ist,' and sees here the influence of the Platonic idea that αὐτὸ τὸ καλόν, αὐτὸ τὸ ἀγαθόν is eternal. He refers to the *Phaedo* of Plato. Καταλ. 'is perceived.' The word καταλαμβάνεσθαι is a mere variant, like θεωρεῖσθαι elsewhere in this treatise, for εἶναι.

δευομένου καταλαμβάνεται· τὸ δὲ πρὸς τὸ ἐναντίον, οὗ ἡ ὑπόστασις ἐν τῷ μὴ ὑφεστάναι ἐστίν· ἡ γὰρ τοῦ ἀγαθοῦ ἐναντίωσις, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, τοιοῦτόν τινα νοῦν κατὰ τὴν ἀντιδιαστολὴν ἔχει, καθάπερ φαμὲν τῷ μὴ ὄντι τὸ ὂν ἀντιδιαιρεῖσθαι καὶ τῇ ἀνυπαρξίᾳ τὴν ὕπαρξιν· ἐπειδὴ τοίνυν κατὰ τὴν τρεπτήν τε καὶ ἀλλοιώτην ὁρμήν τε καὶ κίνησιν οὐκ ἐνδέχεται τὴν φύσιν ἐφ' ἑαυτῆς μένειν ἀκίνητον, ἀλλ' ἐπί τι πάντως ἡ προαίρεσις ἴεται, τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας αὐτὴν φυσικῶς ἐφελκομένης εἰς κίνησιν· καλὸν δὲ τὸ μέν τι ἀληθῶς κατὰ τὴν φύσιν ἐστί, τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' ἐπηνθισμένον τινὶ καλοῦ φαντασίᾳ· κριτήριον δὲ τούτων ἐστὶν ὁ νοῦς, ἔνδοθεν ἡμῖν ἐνιδρυμένος, ἐν ᾧ κινδυνεύεται ἢ τὸ ἐπιτυχεῖν τοῦ ὄντως καλοῦ, ἢ τὸ παρατραπέντας αὐτοῦ διά τινος τῆς κατὰ τὸ φαινόμενον ἀπάτης ἐπὶ τὸ ἐναντίον ἡμᾶς ἀπορρυῆναι, οἷόν τι παθεῖν ὁ ἔξωθεν μῦθός φησιν ἀπιδοῦσαν ἐν τῷ ὕδατι τὴν κύνα πρὸς τὴν σκιὰν οὗ διὰ στόματος ἔφερε, μεθεῖναι μὲν τὴν ἀληθῆ τροφήν, περιχανοῦσαν δὲ τὸ τῆς τροφῆς εἴδωλον ἐν λιμῷ γενέσθαι·

1 ου] ω f || om η vulg || 3 om εν τοις vulg || 4 τινα] τι e || διαστολην vulg || 7 αφ εαυτης vulg || 9 αυτη f εαυτην deg*hnp || εφελκ. φυσικως 1* vulg || 11 om την f || 13 εν ω]+και f || 14 οντως] οντος dhln vulg || 16 εξωθεν] εξω μεν vulg || 17 αποδιδουσαν vulg || 19 τω...ειδωλω g*p προς το...ειδωλον n

1. τὸ ἐναντίον] i.e. τὸ κακόν, which, as Gr. has shown previously, is equivalent to τὸ μὴ ὄν.

2. ἡ...ἐναντίωσις] '*When we contrast the opposite of good with good, we mean much the same as when we say that the existent is logically opposed to the non-existent, and subsistence to non-subsistence.*' Cp. *antea* cc. 6, 15 with notes.

6. ἐπειδή] resumes the sentence begun in ἐν τούτῳ τοίνυν. Ὁρμήν, 'the impulse and movement towards alteration and change.'

9. φυσικῶς] Gr. implies that man's natural state is one in which he is impelled to the pursuit of good. In the parenthesis, which begins καλὸν δέ, he shews how in the pursuit of good man is liable to be misled by illusions.

11. ἐπηνθισμένον] '*arrayed in a certain semblance of good.*'

13. ἐν ᾧ] The antecedent is prob. νοῦς. As the νοῦς is liable to err, there is the chance of either success or failure in the pursuit of good.

16. ἀπορρυῆναι] Cp. c. 15. Ὁ ἔξ. μῦθος = 'the heathen fable.' Krab. quotes from St Basil the similar expressions *μαθήματα τὰ ἔξωθεν, ἡ θύραθεν σοφία.*

18. περιχανοῦσαν] '*opening his mouth to swallow.*' Cp. Lucian

(22) ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως ἀγαθὸν ἐπιθυμίας διαψευσθεὶς ὁ νοῦς πρὸς τὸ μὴ ὂν παρηνέχθη, δι' ἀπάτης τοῦ τῆς κακίας συμβούλου τε καὶ εὑρετοῦ καλὸν ἀναπεισθεὶς εἶναι τὸ τῷ καλῷ ἐναντίον· οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀπάτη, μὴ δελέατος δίκην τῷ τῆς κακίας ἀγκίστρῳ τῆς τοῦ καλοῦ φαντασίας περιπλασθείσης· ἐν ταύτῃ τοίνυν γεγονότος ἑκουσίως τῇ συμφορᾷ τοῦ ἀνθρώπου τοῦ ἑαυτὸν δι' ἡδονῆς τῷ ἐχθρῷ τῆς ζωῆς ὑποζεύξαντος, πάντα μοι κατὰ ταὐτὸν ἀναζήτει τὰ ταῖς θείαις ὑπολήψεσι πρέποντα, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ ἄφθαρτον καὶ εἴ τι τῆς τοῦ κρείττονος σημασίας ἐστίν. οὐκοῦν ὡς ἀγαθὸς οἶκτον λαμβάνει τοῦ διαπεπτωκότος, ὡς σοφὸς οὐκ ἀγνοεῖ τὸν τρόπον τῆς ἀνακλήσεως. σοφίας δ' ἂν εἴη καὶ ἡ τοῦ δικαίου κρίσις· οὐ γὰρ ἄν τις ἀφροσύνῃ τὴν ἀληθῆ δικαιοσύνην προσάψειεν.

22. Τί οὖν ἐν τούτοις τὸ δίκαιον; τὸ μὴ τυραννικῇ

8 om τον vulg ‖ εχθρω] χρονω f ‖ 9 κατα ταυτον] κατ αυτον g κατα τον αυτον l vulg ‖ 10 om το σοφον l vulg ‖ om το δικαιον το δυνατον n και δικαιον και δυνατον l vulg ‖ 11 om του fl vulg ‖ 13 και ως σοφος l vulg

Merc. Cond. 3 καθάπερ ὁ λάρος ὅλον περιχανὼν τὸ δέλεαρ.

1. διαψευσθεὶς] '*being cheated of its desire for that which is really good.*'

2. τὸ μὴ ὄν] i.e. τὸ κακόν.

4. οὐ γάρ] A fresh parenthesis, the main sentence being again resumed with the words ἐν ταύτῃ τοίνυν. '*For his guile would not have been effectual, had not the semblance of good been spread upon the hook of evil like a bait.*'

7. ἑκουσίως] This word plays an important part in Gr.'s argument. Though man was deceived, his lapse into evil was the result of his own decision, and this fact influenced the manner of his redemption.

9. πάντα μοι] These words introduce the apodosis. Over against the circumstances of man's fall, Gr. sets the other factor in the problem, i.e. the nature and character of God. In the following clauses: οὐκοῦν ὡς ἀγαθὸς—σοφίας δ' ἂν εἴη—τί οὖν ἐν τούτοις τὸ δίκαιον;—he passes in review the main attributes of God. God's action was limited by His justice, which must necessarily accompany the exhibition of His goodness in desiring man's salvation and His wisdom in discovering a means to effect it.

ib. κατὰ ταὐτόν] = *simul.*

22. *How then was God's justice exhibited? In abstaining from a tyrannical exercise of force against Satan. As justice requires that those who have bartered away their own liberty should be restored by the payment of a ransom to their lawful owners, so in the case of man a method of redemption was needed that was consistent with justice. This involved the payment of such a ransom as the owner was willing to receive.*

16. μὴ τυραννικῇ] Krab. quotes

τινὶ χρήσασθαι κατὰ τοῦ κατέχοντος ἡμᾶς αὐθεντίᾳ, μηδὲ τῷ περιόντι τῆς δυνάμεως ἀποσπάσαντα τοῦ κρατοῦντος καταλιπεῖν τινὰ δικαιολογίας ἀφορμὴν τῷ δι' ἡδονῆς καταδουλωσαμένῳ τὸν ἄνθρωπον. καθάπερ γὰρ οἱ χρημάτων τὴν ἑαυτῶν ἐλευθερίαν ἀποδόμενοι δοῦλοι τῶν ὠνησαμένων εἰσίν, αὐτοὶ πρατῆρες ἑαυτῶν καταστάντες, καὶ οὔτε αὐτοῖς οὔτε ἄλλῳ τινὶ ὑπὲρ ἐκείνων ἔξεστι τὴν ἐλευθερίαν ἐπιβοήσασθαι, κἂν εὐπατρίδαι τινὲς ὦσιν οἱ πρὸς τὴν συμφορὰν ταύτην αὐτομολήσαντες· εἰ δέ τις κηδόμενος τοῦ ἀπεμποληθέντος βίᾳ κατὰ τοῦ ὠνησαμένου χρῷτο, ἄδικος εἶναι δόξει τὸν νόμῳ κτηθέντα τυραννικῶς ἐξαιρούμενος· ἐξωνεῖσθαι δὲ πάλιν εἰ βούλοιτο τὸν τοιοῦτον, οὐδεὶς ὁ κωλύων νόμος ἐστί· (23) κατὰ τὸν αὐτὸν τρόπον ἑκουσίως ἡμῶν ἑαυτοὺς ἀπεμπολησάντων ἔδει παρὰ τοῦ δι' ἀγαθότητα πάλιν ἡμᾶς εἰς ἐλευθερίαν ἐξαιρουμένου μὴ τὸν τυραννικόν, ἀλλὰ τὸν δίκαιον τρόπον ἐπινοηθῆναι τῆς ἀνακλήσεως. οὗτος δέ ἐστί τις τὸ ἐπὶ τῷ κρατοῦντι ποιήσασθαι πᾶν ὅπερ ἂν ἐθέλοι λύτρον ἀντὶ τοῦ κατεχομένου λαβεῖν.

23. Τί τοίνυν εἰκὸς ἦν μᾶλλον τὸν κρατοῦντα λαβεῖν

22. 8 ευπατριδες l vulg || 18 τις τω επικρατουντι l*n vulg

Dionys. Areop. *de eccl. Hier.* c. 3 § 11 τῆς...ἀποστατικῆς πληθύος, ὡς ἡ κρυφία παράδοσις ἔχει, τὸ καθ' ἡμῶν καταλύσασα κράτος, οὐ κατὰ δύναμιν, ὡς ὑπερισχύουσα, κατὰ δὲ τὸ μυστικῶς ἡμῖν παραδοθὲν λόγιον, ἐν κρίσει καὶ δικαιοσύνῃ. To this Maximus has appended a note in which he refers to this passage of Gr.

3. δικαιολογ.] '*a just plea in his own defence.*'

5. χρημάτων] '*for money.*'

8. ἐπιβοήσασθαι] '*To claim liberty on their behalf.*' For this sense of ἐπιβοᾶσθαι cp. Basil *de Spir. S.* c. x (25) τὰς ἐκ τῶν ἐγγράφων ἀποδείξεις ἐπιβοῶνται.

14. κατὰ τὸν αὐτόν] The Paris edition and MSS *b* and *e* mark the beginning of a new chapter at this point. In MS *f* the division is made before the words οὗτος δέ ἐστί τις. In all three MSS the new chapter has the following colophon: Ὅτι συναλλαγματικήν τινα ποιεῖται τὴν λύτρωσιν.

23. *What then was the ransom which Satan was likely to choose? His pride led him to seek something which was higher and better than that which he held, in order to make a gain in the bargain. The spectacle of power displayed in Christ's miracles led Satan to select Him as the ransom-price, while the veil of Christ's humanity, hiding the Godhead, made*

ἑλέσθαι; δυνατόν ἐστι δι' ἀκολούθου στοχασμόν τινα τῆς ἐπιθυμίας αὐτοῦ λαβεῖν, εἰ τὰ πρόδηλα γένοιτο ἡμῖν τῶν ζητουμένων τεκμήρια. ὁ τοίνυν κατὰ τὸν ἐν ἀρχῇ τοῦ συγγράμματος προαποδοθέντα λόγον τῷ πρὸς τὸν εὐημεροῦντα φθόνῳ πρὸς μὲν τὸ ἀγαθὸν ἐπιμύσας, τὸν δὲ τῆς κακίας ζόφον ἐν ἑαυτῷ γεννήσας, ἀρχὴν δὲ τῆς πρὸς τὰ χείρω ῥοπῆς καὶ ὑπόθεσιν καὶ οἱονεὶ μητέρα τῆς λοιπῆς κακίας τὴν φιλαρχίαν νοσήσας, τίνος ἂν ἀντηλλάξατο τὸν κατεχόμενον, εἰ μὴ δηλαδὴ τοῦ ὑψηλοτέρου καὶ μείζονος ἀνταλλάγματος, ὡς ἂν μᾶλλον ἑαυτοῦ τὸ κατὰ τὸν τῦφον θρέψειεν πάθος, τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος; ἀλλὰ μὴν ἐν τοῖς ἀπ' αἰῶνος ἱστορουμένοις, ἐν οὐδενὶ συνεγνώκει τοιοῦτον οὐδέν, οἷα καθεώρα περὶ τὸν τότε φαινόμενον, κυοφορίαν ἀσυνδύαστον, καὶ γέννησιν ἄφθορον, καὶ θήλην ἐκ παρθενίας,

23. 2 ειτα προδ. vulg || 5 om μεν fl vulg || 8 om αν f || 13 om ιστορουμενοις h || 14 την τ. φαινομενην vulg || ασυντριαστον l vulg

Him an object of desire rather than of dread to the adversary. In the wish to save man we see exhibited the goodness, in the ransom by bargain the justice, in the manner by which the ransom was effected, the wisdom of God.

1. δι' ἀκολούθου] '*reasonably*,' a variant for the more usual κατὰ τὸ ἀκ.

2. εἰ τὰ πρόδ.] '*if the evident facts of the case were taken as proofs to us of that which we are seeking.*'

3. ἐν ἀρχῇ] i.e. c. 6.

6. ἀρχὴν δέ] Opposite these words in MSS *b* and *e* occurs the marginal note ὅτι ἀπὸ φιλαρχίας ἐτραχηλίασεν ὁ διάβολος. Gr. describes the love of power as 'the originating cause of the tendency to evil in Satan, and the foundation and as it were mother of other wickedness.'

7. ὑπόθεσιν] '*base*,' '*foundation*.' Cp. Arist. *Pol.* vii 1. 6 ὑπόθεσις ... τῆς δημοκρατικῆς πολιτείας ἐλευθερία.

11. τῦφον] Satan wished to satisfy his pride by making a gain in the exchange and getting more than he gave (τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος). The whole conception is crude and repellent.

14. τὸν τότε φ.] i.e. Jesus Christ.

ib. κυοφ. ἀσυνδ.] Acc. to the earlier belief 'the virginity of Mary and her child-bearing' were hidden from Satan. Cf. Ign. *Eph.* xix.

15. γέννησιν ἄφθορον] Cp. *c. Eunom.* iv p. 625 (Migne) ἔτεκε, καὶ οὐδὲν ἧττον ἡ ἀφθαρσία συνδιεφυλάχθη τῷ τόκῳ. The belief indicated here in a Virgin-birth, as distinct from a Virgin-conception, was a corollary upon the παρθενία widely current among the Fathers. See Schwane *Dogmengeschichte* i 186, 233 ff.

ib. θήλην] '*giving suck*.'

καὶ ἄνωθεν ἐπιμαρτυρούσας τῷ ὑπερφυεῖ τῆς ἀξίας ἐκ τῶν ἀοράτων φωνάς, καὶ τῶν τῆς φύσεως ἀρρωστημάτων διόρθωσιν ἀπραγμάτευτόν τινα καὶ ψιλήν, ἐν ῥήματι μόνῳ καὶ ὁρμῇ τοῦ θελήματος παρ' αὐτοῦ γινομένην, τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν, καὶ τὴν τῶν καταδίκων ἀνάρρυσιν, καὶ τὸν κατὰ τῶν δαιμόνων φόβον, καὶ τῶν κατὰ τὸν ἀέρα παθῶν τὴν ἐξουσίαν, καὶ τὴν διὰ θαλάσσης πορείαν, οὐ διαχωροῦντος ἐφ' ἑκάτερα τοῦ

3 τινα και] τε και e || 4 γενομενην ef || 5 om και την...αναρρυσιν dfglp || 6 αναρρησιν h

2. φωνάς] '*Voices from the unseen world, testifying from above to surpassing worth.*' The reference is to the song of the angels at the Birth.

3. διόρθωσιν] '*His command of a mode of healing natural infirmities without trouble or the use of means, by a mere fiat and effort of the will.*' Ἀπραγμάτευτον, lit. 'not highly wrought' or 'laboured.' The adv. ἀπραγματεύτως is used by Synesius in the sense of 'without trouble.' Ψιλήν implies that it was by the simple exercise of power, unaccompanied by any employment of human skill, that the cures were effected. The reading of Krab. ὑψηλήν is only found in the late MS *b*.

5. ἀνάλυσιν] '*the return of the dead to life.*' For this sense of ἀνάλυσις cp. c. 39 πρὸς ἑαυτὸν ἀναλύων. Cp. also Luke xii 36. Krab. conjectures ἀνάκλησιν, but this is unnecessary.

ib. καὶ τὴν τ. κ. ἀνάρρυσιν] These words are only found in the MSS *b, e, h, n*. They occur in the Latin translation of Morel, who renders 'damnatorum absolutio.' Krab. gives the same rendering, and thinks that there is an allusion to Origen's teaching upon the final restoration of all sinners. See below, c. 26. But from the context it is obvious that the words, if genuine, must refer to something before the Crucifixion. If the words are not genuine, it is difficult to account for their insertion in the text, whereas their omission might be explained as *per homœoteleuton*, owing to the resemblance of ἀνάλυσιν and ἀνάρρυσιν. 'The rescue of those under condemnation' might mean (1) the absolution of sinners during our Lord's earthly life (Moore *N. and P. N. Fathers* vol. v p. 493); (2) the deliverance of those who had deadly diseases (e.g. the nobleman's son); (3) the deliverance of those already possessed with devils, thus leading on to τ. κατὰ τῶν δ. φ. Of these interpretations (2) or (3) is preferable to (1), and accords better with the class of wonders adduced in the context.

6. κατὰ τῶν δαιμόνων] '*fear inspired in devils.*'

7. παθῶν] Krab., following Hervetus, translates 'potestatem in aeris affectiones.' Glauber has '(dass er) über Stürme Gewalt hatte.' For this use of πάθος cp. Greg. Naz. *Or.* xxviii 30 (Mason, p. 69) σὺ δὲ ἔγνως σελήνης φύσιν, καὶ πάθη. The ref. is to the stilling of the tempest. See Mt. viii 27 &c.

8. διὰ θαλάσσης πορ.] In Mk vi 48—9 (Mt. xiv 25—6), and Jn vi 19 the expressions used are ἐπὶ τὴν θάλασσαν and ἐπὶ τῆς θαλάσσης,

πελάγους, καὶ τὸν πυθμένα γυμνοῦντος τοῖς παροδεύουσι κατὰ τὴν ἐπὶ Μωσέως θαυματουργίαν, ἀλλ' ἄνω τῆς ἐπιφανείας τοῦ ὕδατος ὑποχερσουμένης τῇ βάσει, καὶ διά τινος ἀσφαλοῦς ἀντιτυπίας ὑπερειδούσης τὸ ἴχνος, τήν τε τῆς τροφῆς ὑπεροψίαν ἐφ' ὅσον βούλοιτο, καὶ τὰς ἐν ἐρημίᾳ δαψιλεῖς ἑστιάσεις τῶν ἐν πολλαῖς χιλιάσιν εὐωχουμένων, οἷς οὔτε οὐρανὸς ἐπέρρει τὸ μάννα, οὔτε ἡ γῆ κατὰ τὴν ἰδίαν αὐτῆς φύσιν σιτοποιοῦσα τὴν χρείαν ἐπλήρου, ἀλλ' ἐκ τῶν ἀρρήτων ταμείων τῆς θείας δυνάμεως ἡ φιλοτιμία προῄει, ἕτοιμος ἄρτος ταῖς χερσὶ τῶν διακονούντων ἐγγεωργούμενος καὶ διὰ τοῦ κόρου τῶν ἐσθιόντων πλείων γιγνόμενος, ἥ τε διὰ τῶν ἰχθύων ὀψοφαγία, οὐ θαλάσσης αὐτοῖς πρὸς τὴν χρείαν συνεισφερούσης, ἀλλὰ τοῦ καὶ τῇ θαλάσσῃ τὸ γένος τῶν ἰχθύων ἐγκατασπείραντος. καὶ πῶς ἄν τις τὸ καθ' ἕκαστον τῶν εὐαγγελικῶν διεξίοι θαυμάτων; ταύτην τοίνυν τὴν δύναμιν καθορῶν, ὁ ἐχθρὸς ἐν ἐκείνῳ πλεῖον

2 om επι l vulg ‖ θαυματουργ.] ελευθεριαν f ‖ 4 τινος] της l vulg ‖ υπερειδοντος του ιχνους f ‖ 7 ουρανοθεν f ‖ μαννα] ναμα g^1 ‖ 9 ταμειων dghnp ‖ 11 διακονουμενων g ‖ 15 κατασπειρ. vulg ‖ το καθ] τα κ. f των κ. hp ‖ 17 om τοινυν d

not διὰ θαλάσσης, as here, but in Mk vi 53 (Mt. xiv 34) διαπεράσαντες occurs.

2. ἀλλ' ἄνω] The sea did not part and lay bare the bottom, as in the miracle of Moses, but in this case the surface of its waters presented a solid ground (ὑποχερσουμένης), and supported (ὑπερειδούσης) His steps by a kind of firm resistance (διά τινος ἀσφ. ἀντιτυπ.). For ἐπιφ. cp. c. 8. For ἀντιτυπίας cp. Gr. Naz. *Or.* xxxi 32 (p. 189, Mason) σχεθεῖσα τῷ ἀντιτύπῳ.

5. ὑπεροψίαν] '*contempt*,' '*disregard*.'

9. ταμείων] On this form see Deissmann *Bible Studies* p. 182.

10. φιλοτιμία] '*munificence*.'

11. ἐγγεωργ.] The Latin transl. of the Paris ed. gives 'panis paratus, eorum qui impartiebantur tanquam agricolarum manibus elaboratus,' taking ταῖς χερσί with ἐγγεωργούμενος. The bread was multiplied by the very act of distribution, and so may be said to have been 'produced' in the hands of those who distributed it. The word ἐγγεωργεῖν is not found in the Lexicons.

12. κόρου] i.e. the bread increased the more they were filled. A somewhat rhetorical way of expressing the fact narrated in Mt. xiv 20, Mk vi 42, 43 &c.

13. ὀψοφαγία] '*banquet*,' used of a dainty repast. Here it refers to the feeding of the multitude with the fishes.

τοῦ κατεχομένου τὸ προκείμενον εἶδεν ἐν τῷ συναλλάγματι. τούτου χάριν αὐτὸν αἱρεῖται λύτρον τῶν ἐν τῇ τοῦ θανάτου φρουρᾷ καθειργμένων γενέσθαι. ἀλλὰ μὴν ἀμήχανον ἦν αὐτὸν γυμνῇ προσβλέψαι τῇ τοῦ θεοῦ φαντασίᾳ, μὴ σαρκός τινα μοῖραν ἐν αὐτῷ θεωρήσαντα, ἣν ἤδη διὰ τῆς ἁμαρτίας κεχείρωτο. διὰ τοῦτο περικαλύπτεται τῇ σαρκὶ ἡ θεότης, ὡς ἄν, πρὸς τὸ σύντροφόν τε καὶ συγγενὲς αὐτῷ βλέπων, μὴ πτοηθείη τὸν

4 om αυτον l vulg || 6 περικεκαλυπται vulg

1. *τὸ προκείμενον*] '*saw that what was proposed in the bargain was a gain upon what he held.*' By *τὸ προκείμ.* Gr. means Christ, who represented a type of humanity superior to that which Satan held in bondage (*τοῦ κατεχ.*). He was therefore not only an equivalent for it, but would leave a margin of gain to Satan.

2. *αὐτὸν αἱρεῖται*] The idea that Christ's death (or blood) was a ransom to Satan appears in Iren. *c. Haer.* v 1. 1. It was adopted by Origen, who speaks of the blood of Christ as the price demanded by Satan (*in Rom.* ii 13) and elsewhere (*in Matt.* xvi 8) says that Christ gave His *ψυχή* as a *λύτρον* to Satan. The idea was still further worked out by succeeding writers. It occurs in more or less developed form in Ambrose, Augustine, Leo I, and Gregory I, in the last of whom it reaches its most repulsive expression. See esp. Ambr. *Ep.* lxxii 8; Aug. *de Trin.* xiii 14; Leo M. *Sermo* xxii 3; Greg. M. *Mor.* xxxiii 7. Athanasius does not recognize the theory, while Gregory of Nazianzus (*Or.* xlv 22), and in later times John of Damascus (*de Fid. Orth.* iii 1, 27) reject it. Still it was widely current until Anselm in his *Cur Deus homo* guided thought in a different direction.

ib. τῶν ἐν τῇ τ. θ. φρ. καθ.] Gr. refers here to the harrowing of hell. He does not apply the 'ransom' to those yet living, or to generations to come.

3. *ἀλλὰ μήν*] The idea contained in this passage that the humanity of Christ served to veil His Godhead from the eyes of Satan is more fully expressed in c. 24 *τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον, ἵνα...συγκατασπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος*, and in c. 26 *ἀπατᾶται γὰρ καὶ αὐτὸς τῷ τοῦ ἀνθρώπου προβλήματι ὁ προαπατήσας τὸν ἄνθρωπον*. Cp. Greg. Naz. *Or.* xxxix 13 *ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ σοφιστής, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται, ἵν' ὡς τῷ Ἀδὰμ προσβαλών, τῷ θεῷ περιπέσῃ*. See further Mason *Five Theol. Orations of Greg. Naz.* p. 117. The earliest trace of this idea of a deception of Satan by the reserve shown in the Incarnation is in Ignatius *Eph.* xix. It may have been suggested by 1 Cor. ii 8.

4. *προσβλέψαι τῇ...φ.*] '*to gaze on the unveiled appearance of God.*' For the use of the *dat.* with *προσβλέπειν* see Plut. *Cato Mi.* 65 *Ἀπολλωνίδῃ τῷ Στοικῷ...προσβλέψας ὁ Κάτων*.

7. *σύντροφον*] '*looking at that which was well-known and familiar.*'

προσεγγισμὸν τῆς ὑπερεχούσης δυνάμεως· καὶ τὴν ἠρέμα διὰ τῶν θαυμάτων ἐπὶ τὸ μεῖζον διαλάμπουσαν δύναμιν κατανοήσας, ἐπιθυμητὸν μᾶλλον ἢ φοβερὸν τὸ φανὲν εἶναι νομίσῃ. ὁρᾷς ὅπως τὸ ἀγαθὸν τῷ δικαίῳ συνέζευκται καὶ τὸ σοφὸν τούτων οὐκ ἀποκέκριται. τὸ γὰρ διὰ τῆς τοῦ σώματος περιβολῆς χωρητὴν τὴν θείαν δύναμιν ἐπινοῆσαι γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ ἡμῶν οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς θεικῆς ἐπιφανείας, πάντων κατὰ ταὐτὸν τὴν ἀπόδειξιν ἔχει, τοῦ ἀγαθοῦ, τοῦ σοφοῦ, τοῦ δικαίου. τὸ μὲν γὰρ ἐλέσθαι σῶσαι τῆς ἀγαθότητός ἐστι μαρτυρία· τὸ δὲ συναλλαγματικὴν ποιήσασθαι τὴν τοῦ κρατουμένου λύτρωσιν τὸ δίκαιον δείκνυσι· τὸ δὲ χωρητὸν δι' ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ τὸ ἀχώρητον τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει.

24. Ἀλλ' ἐπιζητεῖν εἰκὸς τὸν τῇ ἀκολουθίᾳ τῶν εἰρημένων προσέχοντα, ποῦ τὸ δυνατὸν τῆς θεότητος, ποῦ ἡ

8 παρεμποδισθειη f ‖ θεικης επιφ.] υψηλης εμφ. fl vulg ‖ 9 παντως vulg ‖ 10 σοφου]+του δυνατου f ‖ το μεν...σωσαι desunt in e ‖ 13 ποιησαι δι επ. e

1. τὴν ἠρέμα] *'perceiving the power which shone out quietly more and more in His miracles.'*

3. ἐπιθυμητὸν] See the passage quoted above from c. 24.

6. χωρητήν] Cp. *infra* χωρητὸν ...τῷ ἐχθρῷ. For the idea cp. c. 26 ἐντὸς τοῦ κρατοῦντος γενέσθαι. The Divine power became χωρητή to Satan by being inseparably united with the humanity, which the adversary had chosen as his λύτρον, and which served to veil the Godhead.

7. ἐπινοῆσαι] used, like δι' ἐπινοίας below, of a 'device' or 'invention.'

24. *The question, however, may be asked, 'How was the Divine power displayed in the Incarnation?' This can only be answered by considering the sequel of the Gospel story in which we find power conjoined with love. In the first place Gr. maintains that God's condescension to the weakness of human nature in the Incarnation was a greater proof of omnipotence than any wonders of the natural creation. For it showed that His power is not limited by the bounds of nature, but can pass beyond them, just as our wonder would be excited if we saw a flame stream downward instead of upward. In order that Satan might be led to accept the ransom offered on our behalf, Christ concealed His Godhead in the veil of our humanity and thus introduced life and light into our nature. There was nothing unreasonable in a plan which brought cleansing to those defiled with sin, life to the dead, and guidance to those who had gone astray.*

ἀφθαρσία τῆς θείας δυνάμεως ἐν τοῖς εἰρημένοις ὁρᾶται. ἵνα τοίνυν καὶ ταῦτα γένηται καταφανῆ, τὰ ἐφεξῆς τοῦ μυστηρίου διασκοπήσωμεν, ἐν οἷς μάλιστα δείκνυται συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις. πρῶτον μὲν οὖν τὸ τὴν παντοδύναμον φύσιν καὶ πρὸς τὸ ταπεινὸν τῆς ἀνθρωπότητος καταβῆναι ἰσχῦσαι πλείονα τῆς δυνάμεως τὴν ἀπόδειξιν ἔχει ἢ τὰ μέγαλά τε καὶ ὑπερφυῆ τῶν θαυμάτων. τὸ μὲν γὰρ μέγα τι καὶ ὑψηλὸν ἐξεργασθῆναι παρὰ τῆς θείας δυνάμεως κατὰ φύσιν πώς ἐστι καὶ ἀκόλουθον. καὶ οὐκ ἄν τινα ξενισμὸν ἐπάγοι τῇ ἀκοῇ τὸ λέγειν πᾶσαν τὴν ἐν τῷ κόσμῳ κτίσιν καὶ πᾶν ὅ τι περ ἔξω τῶν φαινομένων καταλαμβάνεται, ἐν τῇ δυνάμει τοῦ θεοῦ συστῆναι, αὐτοῦ τοῦ θελήματος πρὸς τὸ δοκοῦν οὐσιωθέντος. ἡ δὲ πρὸς τὸ ταπεινὸν κάθοδος περιουσία τίς ἐστι τῆς δυνάμεως οὐδὲν ἐν τοῖς

24. 1 om θειας e || 4 συγκεκραμενη] νυν κεκραμμ. f συγκεκραμμ. gl || 5 om και l^{vid} || 6–7 την απ. της δυν. l vulg || 8 θαυμ.] δογματων deghnp 10 ακολουθιαν e || 12 ο τι περ]+αν vulg || εξω]+αυτων e 13 τη θεου δυν. l vulg || 15 ως ουδεν f

2. τοῦ μυστηρίου] here practically = 'the Gospel story,' i.e. the revelation contained in the life of Christ.

4. συγκεκραμένη] Gr. maintains that the power of God can only be considered in conjunction with the purpose of love to which it was directed. The love of God for man provided the most splendid occasion for the exercise of His omnipotence. All through this treatise Gr. emphasizes the moral glory exhibited in the creation and redemption of man. With the present passage may be compared the language of the collect for the xith Sunday after Trinity, 'Deus, qui omnipotentiam tuam parcendo maxime et miserando manifestas' (Gelasian).

8. θαυμάτων] Gr. is thinking especially of the wonders in Creation, not only of miracles in the more special sense of the word. This is shown by his reference to Creation in the succeeding passages, esp. that beginning οὕτως καὶ τὴν θείαν. In place of θαυμάτων one group of MSS reads δογμάτων which is evidently a corruption.

12. ἔξω τῶν φαιν.] The invisible creation includes the parts of creation beyond our ken, and also the world of created spirits.

14. οὐσιωθέντος] Οὐσιοῦν = 'to give being or οὐσία to anything.' The idea is that the thing which was brought into being was but the expression of His will and pleasure.

15. περιουσία] The humiliation of the Son of God is a surpassing display of power, because it exhibits a power which is not limited even by what seems opposed to nature. For the explanatory clause κωλυομένης attached to δυνάμεως without an

παρὰ φύσιν κωλυομένης. ὡς γὰρ ἴδιόν ἐστι τῆς τοῦ πυρὸς οὐσίας ἡ ἐπὶ τὸ ἄνω φορά, καὶ οὐκ ἄν τις θαύματος ἄξιον ἐπὶ τῆς φλογὸς ἡγήσαιτο τὸ φυσικῶς ἐνεργούμενον· εἰ δὲ ῥέουσαν ἐπὶ τὸ κάτω καθ' ὁμοιότητα τῶν ἐμβριθῶν σωμάτων ἴδοι τὴν φλόγα, τὸ τοιοῦτον ἐν θαύματι ποιεῖται, πῶς τὸ πῦρ καὶ διαμένει πῦρ ὂν καὶ ἐν τῷ τρόπῳ τῆς κινήσεως ἐκβαίνει τὴν φύσιν, ἐπὶ τὸ κάτω φερόμενον· οὕτως καὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν δύναμιν οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ καὶ ἡ τοῦ παντὸς διακόσμησις καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία τοσοῦτον ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι, πῶς τὸ ὑψηλόν, ἐν τῷ ταπεινῷ γενόμενον, καὶ ἐν τῷ ταπεινῷ καθορᾶται καὶ οὐ καταβαίνει τοῦ ὕψους, πῶς θεότης ἀνθρωπίνῃ συμπλακεῖσα φύσει καὶ τοῦτο γίνεται καὶ ἐκεῖνό ἐστιν. ἐπειδὴ γάρ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, φύσιν οὐκ εἶχεν ἡ ἐναντία δύναμις ἀκράτῳ προσμῖξαι τῇ τοῦ θεοῦ παρουσίᾳ καὶ γυμνὴν ὑποστῆναι αὐτοῦ τὴν ἐμφάνειαν, ὡς ἂν εὔληπτον γένοιτο τῷ ἐπιζητοῦντι ὑπὲρ ἡμῶν τὸ

2 τα ανω d || 3 ηγησοιτο ehn ηγοιτο fg^{1}l ηγειτο vulg || 6 om και ante διαμενει l vulg || 12–13 εν τ. ταπ. το υψηλον f || 13 γενομενον...ταπεινω om vulg || 14 το υψος l vulg || 16 προσθεν dehnp || 17 ακροτατω deghnp

article cp. c. 16 τὸ δ' ὅσον ἐν τῇ φύσει...πορευομένῃ (note). The expression παρὰ φύσιν is contrasted with κατὰ φύσιν above.

8. οὕτως καί] The wonders of Creation do not present such a display of Divine power as does the condescension of God in the Incarnation.

11. οἰκονομία] For this use of οἰκονομία cp. *antea* c. 12 τὰς κατὰ τὸν κόσμον οἰκονομίας ἐπισκοποῦντες.

12. συγκατάβασις] 'condescension,' a term constantly used of the Incarnation.

ib. πῶς κ.τ.λ.] The sentence is modelled upon the parallel sentence above, πῶς τὸ πῦρ κ.τ.λ., where the πῶς is preceded by ἐν θαύματι ποιεῖται.

14. οὐ καταβαίνει] The 'condescension' of God does not involve any loss of His transcendent dignity. He becomes man, and is God.

15. τοῦτο γίνεται] An inexact expression. Though the eternal Son became man, it is incorrect to say that His Godhead became ἀνθρ. φύσις.

16. ἐν τοῖς ἔμπρ.] Cp. c. 23.

ib. φύσιν οὐκ εἶχεν] Cp. c. 15 and in the present chapter *infra*.

19. ὡς ἂν εὔ. γένοιτο] sc. τὸ θεῖον. For the idea of Gr. that our Lord's humanity concealed His Divine nature from the eyes of Satan see cc. 23, 26 with notes.

ἀντάλλαγμα, τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον, ἵνα κατὰ τοὺς λίχνους τῶν ἰχθύων τῷ δελέατι τῆς σαρκὸς συγκατασπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος, καὶ οὕτω τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης καὶ τῷ σκότῳ τοῦ φωτὸς ἐπιφανέντος ἐξαφανισθῇ τὸ τῷ φωτὶ καὶ τῇ ζωῇ κατὰ τὸ ἐναντίον νοούμενον· οὐ γὰρ ἔχει φύσιν οὔτε σκότος διαμένειν ἐν φωτὸς παρουσίᾳ, οὔτε θάνατον εἶναι ζωῆς ἐνεργούσης. οὐκοῦν ἐπὶ κεφαλαίων τοῦ μυστηρίου τὴν ἀκολουθίαν ἀναλαβόντες ἐντελῆ ποιησώμεθα τὴν ἀπολογίαν πρὸς τοὺς κατηγοροῦντας τῆς θείας οἰκονομίας, ὅτου χάριν δι' ἑαυτῆς ἡ θεότης τὴν ἀνθρωπίνην κατεργάζεται σωτηρίαν. δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι καὶ μὴ τὸ μὲν ὑψηλῶς ἐπ' αὐτοῦ νοεῖσθαι, τὸ δὲ τῆς θεοπρεποῦς ἀξίας ἐκβάλλεσθαι· ἀλλὰ πᾶν ὑψηλόν τε καὶ

3 δελεαματι g*hn || συναποσπασθη l vulg || 5 σκοτει vulg || εμφανεντος fl vulg || εξαφανισθητω vulg εξαφανισθειη fl^{vid} || 6 ζωη]+το f vulg || 8 κεφαλαιω f vulg || 9 την οικονομιαν και ακολ. f || 10 ποιησομεθα dglp vulg || 12 ου κατεργ. vulg || 13 om και f vulg || 14 υπ αυτου e || 15 αξιας] διανοιας f || om τε l vulg

2. τοὺς λίχνους] The same comparison is found in Rufinus *Comm. in Symb. Ap.* 16. Similarly Gregory the Great says (*Mor.* xxxiii 7), in commenting on Job xl 19, 'in hamo ergo eius incarnationis captus est, quia dum in illo appetit escam corporis, transfixus est aculeo divinitatis.' Jo. Damasc. (*de Fid. Orth.* iii 27) uses the same comparison of death: πρόσεισι τοιγαροῦν ὁ θάνατος καὶ καταπιὼν τὸ σώματος δέλεαρ τῷ τῆς θεότητος ἀγκίστρῳ περιπείρεται. For a discussion of patristic teaching on the relations of the Incarnate Son to Satan see Oxenham *Cath. Doctr. of Atonement* (2nd ed.) pp. 125—140.

4. εἰσοικισθείσης] '*And so when life had been domiciled with death, and light had shone upon darkness, that which is the opposite of light and life might vanish away.*'

8. οὐκοῦν] Gr. proposes in what follows to repeat in brief summary (ἐπὶ κεφαλαίων) the course of the argument for the Christian religion. In what follows he gives a *résumé* of the argument from c. 20 onwards.

9. ἐντελῆ] 'complete,' 'full,' and so '*effective.*'

11. δι' ἑαυτῆς] i.e. 'without using any agency inferior to itself.'

12. δεῖ γάρ] '*For Godhead can never part with any of its befitting attributes.*' For εἶναι ἐν see c. 1 p. 9 (note). Gr. is recapitulating the argument of c. 20 *init.* The διὰ πάντων is emphatic.

14. τὸ μέν] 'one part,' e.g. not 'power' without 'goodness.'

ib. τὸ δέ] '*while another characteristic of the proper dignity of God is parted with.*'

εὐσεβὲς νόημα δεῖ πάντως ἐπὶ θεοῦ πιστεύεσθαι, καὶ συνηρτῆσθαι δι' ἀκολουθίας τῷ ἑτέρῳ τὸ ἕτερον. δέδεικται τοίνυν τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ φθορᾶς ἀνεπίδεκτον, πάντα τῷ λόγῳ τῆς καθ' ἡμᾶς οἰκονομίας ἐπιδεικνύμενα. ἡ ἀγαθότης ἐν τῷ προελέσθαι σῶσαι τὸν ἀπολωλότα καταλαμβάνεται, ἡ σοφία καὶ ἡ δικαιοσύνη ἐν τῷ τρόπῳ τῆς σωτηρίας ἡμῶν διεδείχθη, ἡ δύναμις ἐν τῷ γενέσθαι μὲν αὐτὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι κατὰ τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν καὶ ἐλπισθῆναι δύνασθαι αὐτὸν καθ' ὁμοιότητα τῶν ἀνθρώπων τῷ θανάτῳ ἐγκρατηθῆναι, γενόμενον δὲ τὸ οἰκεῖον ἑαυτῷ καὶ κατὰ φύσιν ἐργάσασθαι. οἰκεῖον δὲ φωτὶ μὲν ὁ ἀφανισμὸς τοῦ σκότους, ζωῇ δὲ ἡ τοῦ θανάτου καθαίρεσις. ἐπεὶ οὖν τῆς εὐθείας ὁδοῦ παρενεχθέντες τὸ κατ' ἀρχὰς τῆς ζωῆς ἐξετράπημεν καὶ τῷ θανάτῳ ἐγκατηνέχθημεν, τί τοῦ εἰκότος ἔξω παρὰ τοῦ μυστηρίου μανθάνομεν, εἰ ἡ καθαρότης τῶν ἐξ ἁμαρτίας μολυνθέντων ἐφάπτεται, καὶ ἡ ζωὴ τῶν τεθνηκότων, καὶ ἡ ὁδηγία τῶν πεπλανημένων, ὡς ἂν ὅ τε μολυσμὸς καθαρθείη, καὶ ἡ πλάνη θεραπευθείη, καὶ εἰς τὴν ζωὴν τὸ τεθνηκὸς ἐπανέλθοι;

1 *καν συνηρτ.* vulg ‖ 4 *καθ ημων* h ‖ 6 *του σωσαι* f ‖ 11 *κρατηθηναι* h ‖ 12 om *και* vulg ‖ 14 *κατενεχθεντες* l vulg ‖ 20 *και η πλ. θεραπευθειη* desunt in g*p

2. *συνηρτῆσθαι*] '*and that the one should be duly connected with the other.*' Gr. is again referring to the argument of c. 20. Cp. *ibid.* *εἰ δὲ πάντα προσήκει συνδραμεῖν ἐν ταῖς περὶ θεοῦ δόξαις.*

4. *τῷ λόγῳ*] Cp. c. 20 *ἐπὶ τοῦ λόγου τῆς κατ' ἄνθρωπον οἰκονομίας.* That passage illustrates the meaning of *καθ' ἡμᾶς* here.

6. *σῶσαι τὸν ἀπ.*] Lk. xix 10.

8. *ἐν ὁμ. ἀνθρ. κ. σχήματι*] Phil. ii 7. *Τῆς φ.* depends upon *τὸ ταπ.* not on *σχήματι.*

10. *ἐλπισθῆναι*] refers to the hope entertained by Satan of getting Christ into his power. Gr. is referring to the argument of c. 23. The subject of *ἐλπισθῆναι* is the preceding *αὐτόν.*

12. *κατὰ φύσιν*] explained by what follows. It is the nature of light to expel darkness, and of life to destroy death.

18. *ἐφάπτεται*] Cp. c. 16 *εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει.*

25. Τὸ δὲ ἐν τῇ φύσει γενέσθαι ἡμῶν τὴν θεότητα τοῖς μὴ λίαν μικροψύχως κατανοοῦσι τὰ ὄντα οὐδένα ἂν ἐκ τοῦ εὐλόγου ξενισμὸν ἐπαγάγοι. τίς γὰρ οὕτω νήπιος τὴν ψυχὴν ὡς εἰς τὸ πᾶν βλέπων μὴ ἐν παντὶ πιστεύειν εἶναι τὸ θεῖον, καὶ ἐνδυόμενον καὶ ἐμπεριέχον καὶ ἐγκαθήμενον; τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα, καὶ οὐκ ἔνεστιν εἶναί τι μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον. εἰ οὖν ἐν αὐτῷ τὰ πάντα καὶ ἐν πᾶσιν ἐκεῖνο, τί ἐπαισχύνονται τῇ οἰκονομίᾳ τοῦ μυστηρίου τοῦ θεὸν ἐν ἀνθρώπῳ γεγενῆσθαι διδάσκοντος τὸν οὐδὲ νῦν ἔξω τοῦ ἀνθρώπου εἶναι πεπιστευμένον; εἰ γὰρ καὶ ὁ τρόπος τῆς ἐν ἡμῖν

25. 1 ημων γενεσθαι l vulg (ημων γεγενησθαι f) || 2 μικροψυχοις vulg || 4 αποβλεπων l vulg || 5 ενδυομεν l ενδυον μεν vulg || περιεχον l vulg || 6 οντως f || τα παντα l vulg || 7 μη...εχον] ει μη...εχοι f || 9 εν τη οικονομ. l vulg || τον θεον l vulg || ανθρωποις fl vulg || 10 γενεσθαι f || των ανθρωπων l vulg

25. *That God should come to be in human nature ought not to seem strange to us. For He penetrates, embraces and resides in all things, and all things depend upon Him, so that even now He is not external to man. Though the manner of His presence in Nature is different from that in the Incarnation, yet He is present in man in either instance. In the one case, as the containing and upholding principle of Nature, He permeates our being. In the other case He infused Himself into our nature that He might deliver it from death and make it divine.*

3. *τίς γάρ*] Similarly Athanasius (*de Inc.* 41—42) appeals to those philosophers who maintained the immanence of God in Creation. The germ of the idea is found in the *Timaeus* of Plato. In Stoicism it appears as the *Anima mundi*. Cp. Verg. *Aen.* vi 724. For Jewish and Christian thought see esp. Wisdom i 7, Eph. iv 6. Both Ath. and Gr. undoubtedly have the Neo-platonist teaching in view in their use of such an argument. For a discussion of the present passage, and the relation of Gr. to Christian pantheistic thought, see Harnack *Hist. of Dogma* Eng. tr. iii 299 ff.

5. *ἐνδυόμενον*] lit. 'clothing Himself with it.' The Latin transl. of the Paris ed. has 'induentem.' For the idea cp. Ps. civ [ciii] 1, 2.

ib. *ἐμπεριέχον*] '*embracing it.*' Cp. Ps. cxxxix [cxxxviii] 7; Jer. xxiii 4; Amos ix 2, 3.

ib. *ἐγκαθήμενον*] '*residing in it.*' Cp. Is. xl 22; Ps. civ [ciii] 3.

6. *τοῦ...ὄντος*] Ex. iii 14.

ib. *ἐξῆπται*] Cp. c. 5 *τοῦ κόσμου παντὸς ἡ ὑπόστασις τῆς τοῦ λόγου δυνάμεως ἐξῆπται.*

9. *ἐν ἀνθρώπῳ*] The reading *ἀνθρώποις* is plainly a correction, due to the idea that *ἀνθρώπῳ* might suggest that Christ assumed 'a man,' instead of human nature. Cp. c. 16 (note). Here it evidently means 'in man.'

10. *οὐδὲ νῦν ἔξω*] explained in what follows *νῦν μὲν οὖν κ.τ.λ.* There is of course a wide difference

τοῦ θεοῦ παρουσίας οὐχ ὁ αὐτὸς οὗτος ἐκείνῳ, ἀλλ' οὖν τὸ ἐν ἡμῖν εἶναι καὶ νῦν καὶ τότε κατὰ τὸ ἴσον διωμολόγηται. νῦν μὲν οὖν ἐγκέκραται ἡμῖν ὡς συνέχων ἐν τῷ εἶναι τὴν φύσιν· τότε δὲ κατεμίχθη πρὸς τὸ ἡμέτερον, ἵνα τὸ ἡμέτερον τῇ πρὸς τὸ θεῖον ἐπιμιξίᾳ γένηται θεῖον, ἐξαιρεθὲν τοῦ θανάτου καὶ τῆς τοῦ ἀντικειμένου τυραννίδος ἔξω γενόμενον· ἡ γὰρ ἐκείνου ἀπὸ τοῦ θανάτου ἐπάνοδος ἀρχὴ τῷ θνητῷ γένει τῆς εἰς τὴν ἀθάνατον ζωὴν ἐπανόδου γίγνεται.

26. Ἀλλ' ἴσως τις ἐν τῇ τῆς δικαιοσύνης τε καὶ σοφίας ἐξετάσει τῆς κατὰ τὴν οἰκονομίαν ταύτην θεωρουμένης ἐνάγεται πρὸς τὸ νομίσαι ἀπάτην τινὰ τὴν τοιαύτην μέθοδον ἐπινενοῆσθαι ὑπὲρ ἡμῶν τῷ θεῷ· τὸ γὰρ μὴ γυμνῇ τῇ θεότητι, ἀλλ' ὑπὸ τῆς ἀνθρωπίνης φύσεως

1 om ο vulg ‖ 3 ο συνεχ. l vulg ‖ 5 ινα το ημ.] om το ημ. vulg ‖ 6 της αντικειμενης τυρ. e **26.** 10–11 δικ. εξετασει και σοφιας l vulg ‖ 12 om την vulg ‖ 13 om μη l* ου vulg

between the 'hypostatic' or personal union of God with man in Christ, and the union of God with creation through the indwelling of the Word. This is not clearly brought out by Gr., although the contrast which he proceeds to draw in the next clause involves some such idea.

1. ἀλλ' οὖν κ.τ.λ.] a clause answering to εἰ γάρ. '*Though... yet anyhow.*' Νῦν refers to the presence of God in man in the course of nature, τότε to His presence in man through the Incarnation.

4. τὴν φύσιν] '*nature*' (not specially human nature).

26. *The fact that the Godhead was veiled from Satan may be thought to involve an act of deception which is inconsistent with justice and wisdom. To this Gr. replies that the justice of God was shown by requiting Satan according to his deserts, in that the deceiver was in turn deceived. God's wisdom was displayed in combining with a just recompense a purpose of love. The conspirator and the physician both mix a drug with food, but the aim of the one is destructive, while that of the other is beneficent. The purpose of the deceit practised upon Satan was to benefit not merely the victim of Satan's deception, but also the deceiver himself. The Divine power in its contact with evil acts as a refining fire. Satan himself shall be purged by it and be led to acknowledge the justice and saving efficacy of the Incarnation. Then, when the purifying discipline has done its work, all Creation shall send up to God a chorus of praise.*

12. ἀπάτην τινά] The text has the support of all the MSS. The words must be regarded as forming a secondary predicate, 'that this method devised for us by God is a kind of trick.' The reading of Krab. is ἀπάτῃ τινί, which appears in the margin of the late MS *c*, being undoubtedly, as he shows, a conjectural emendation of Max. Margunius, who wrote the MS.

κεκαλυμμένῃ, ἀγνοηθέντα παρὰ τοῦ ἐχθροῦ, τὸν θεὸν ἐντὸς τοῦ κρατοῦντος γενέσθαι ἀπάτη τίς ἐστι τρόπον τινὰ καὶ παραλογισμός, ἐπείπερ ἴδιον τῶν ἀπατώντων ἐστὶ τὸ πρὸς ἕτερον τὰς τῶν ἐπιβουλευομένων ἐλπίδας τρέπειν καὶ ἄλλο παρὰ τὸ ἐλπισθὲν κατεργάζεσθαι. ἀλλ' ὁ πρὸς τὴν ἀλήθειαν βλέπων πάντων μάλιστα καὶ τοῦτο τῆς δικαιοσύνης τε καὶ τῆς σοφίας εἶναι συνθήσεται. δικαίου μὲν γάρ ἐστι τὸ κατ' ἀξίαν ἑκάστῳ νέμειν, σοφοῦ δὲ τὸ μήτε παρατρέπειν τὸ δίκαιον, μήτε τὸν ἀγαθὸν τῆς φιλανθρωπίας σκοπὸν ἀποχωρίζειν τῆς κατὰ τὸ δίκαιον κρίσεως, ἀλλὰ συνάπτειν ἀλλήλοις εὐμηχάνως ἀμφότερα, τῇ μὲν δικαιοσύνῃ τὸ κατ' ἀξίαν ἀντιδιδόντα, τῇ δὲ ἀγαθότητι τοῦ σκοποῦ τῆς φιλανθρωπίας οὐκ ἐξιστάμενον. σκοπήσωμεν τοίνυν εἰ μὴ τὰ δύο ταῦτα τοῖς γεγονόσιν ἐνθεωρεῖται. ἡ μὲν γὰρ τοῦ κατ' ἀξίαν ἀντίδοσις, δι' ἧς ὁ ἀπατεὼν ἀνταπατᾶται, τὸ δίκαιον δείκνυσιν, ὁ δὲ σκοπὸς τοῦ γιγνομένου μαρτυρία τῆς τοῦ ἐνεργοῦντος ἀγαθότητος γίγνεται. ἴδιον μὲν γὰρ τῆς δικαιοσύνης τὸ ἐκεῖνα νέμειν ἑκάστῳ, ὧν τις τὰς ἀρχὰς καὶ τὰς αἰτίας προκατεβάλετο, ὥσπερ ἡ γῆ κατὰ τὰ γένη τῶν καταβληθέντων σπερμάτων καὶ τοὺς καρποὺς ἀντιδίδωσιν· σοφίας δὲ τὸ ἐν τῷ τρόπῳ τῆς τῶν

3 απατωντων] απαντων 1* || 6 om την h || 17 γενομενου h || 18 om γιγνεται f || 20 -εβαλλετο l || 22 αναδιδωσιν l vulg

1. ἀγνοηθέντα] Cp. *antea* c. 24. Behind this conception of an act of deceit practised on Satan there lies the more profound idea that Satan's cunning was outwitted by God's wisdom. The 'ars ut artem falleret' of Venantius (in the hymn 'Pange lingua') is applied to a different point in the history of redemption.

5. παρὰ τὸ ἐλπισθέν] The victim of a trick is taken by surprise and finds his expectations disappointed.

7. τοῦτο] i.e. the outwitting of Satan.

12. τῇ μὲν δικαιοσύνῃ] Krab. regards δικ. as governed by ἀντιδιδόντα, leaving ἀγαθότητι to be regarded as a *dat.* of circumstance or respect. The Latin rendering of the Paris edd. is similar. It is better, however, with Moore, to regard both datives as similar in construction. '*In justice, making a proper recompense; in goodness, not departing from the purpose of love to man.*'

16. ἀπατεών] '*deceiver.*' The word commonly denotes a 'quack' or 'impostor.'

20. ὥσπερ ἡ γῆ] an application of St Paul's maxim (Gal. vi 7) ὃ γὰρ

ὁμοίων ἀντιδόσεως μὴ ἐκπεσεῖν τοῦ βελτίονος. ὥσπερ γὰρ τῷ ἐδέσματι ὁμοίως παραμίγνυσι τὸ φάρμακον καὶ ὁ ἐπιβουλεύων καὶ ὁ τὸν ἐπιβουλευθέντα ἰώμενος· ἀλλ' ὁ μὲν τὸ δηλητήριον, ὁ δὲ τοῦ δηλητηρίου ἀλεξητήριον, καὶ οὐδὲν ὁ τρόπος τῆς θεραπείας τὸν σκοπὸν τῆς εὐεργεσίας διελυμήνατο· εἰ γὰρ καὶ παρ' ἀμφοτέρων φαρμάκου μίξις ἐν τροφῇ γίγνεται, ἀλλὰ πρὸς τὸν σκοπὸν ἀποβλέψαντες τὸν μὲν ἐπαινοῦμεν, τῷ δὲ χαλεπαίνομεν· οὕτω καὶ ἐνταῦθα τῷ μὲν κατὰ τὸ δίκαιον λόγῳ ἐκεῖνα ὁ ἀπατεὼν ἀντιλαμβάνει, ὧν τὰ σπέρματα διὰ τῆς ἰδίας προαιρέσεως κατεβάλετο· ἀπατᾶται γὰρ καὶ αὐτὸς τῷ τοῦ ἀνθρώπου προβλήματι ὁ προαπατήσας τὸν ἄνθρωπον τῷ τῆς ἡδονῆς δελεάσματι· ὁ δὲ σκοπὸς τῶν γιγνομένων ἐπὶ τὸ κρεῖττον τὴν παραλλαγὴν ἔχει. ὁ μὲν γὰρ ἐπὶ διαφθορᾷ τῆς φύσεως τὴν ἀπάτην ἐνήργησεν, ὁ δὲ δίκαιος ἅμα καὶ ἀγαθὸς καὶ σοφὸς ἐπὶ σωτηρίᾳ τοῦ καταφθαρέντος τῇ ἐπινοίᾳ τῆς ἀπάτης ἐχρήσατο, οὐ μόνον τὸν ἀπολωλότα διὰ τούτων εὐεργετῶν, ἀλλὰ καὶ αὐτὸν τὸν τὴν ἀπώλειαν καθ' ἡμῶν ἐνεργήσαντα. ἐκ γὰρ

3 επιβουλευθεντα] επιβουλευοντα e || 4 αλεξιτηρ. vulg αλξιτηρ. eh || 7 εν τη τροφη f || 8 τω δε] τον δε vulg || 10 αντιλαμβανεται d || 10–11 της προ. της ιδιας f || 14 παραλλαγην] μεταβολην f || 16 αμα και αγ.] και αγ. αμα e || 16–17 των καταφθαρεντων f || 19 την απωλ.] om την vulg

ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

1. τοῦ βελτίονος] i.e. τοῦ σκοποῦ τῆς φιλανθρωπίας, which he has mentioned above.

ib. ὥσπερ γάρ] The method of the cure in the case of the physician is the same as that of the poisoner, but that does not interfere with the beneficence of its intention.

9. τῷ μὲν...λόγῳ] '*on the principle of justice.*'

11. ἀπατᾶται γάρ] a parenthesis. The main sentence is resumed with ὁ δὲ σκοπός.

12. προβλήματι] 'the screen' of the human nature, which concealed His Divinity. See note c. 23 p. 89 with references. For τοῦ ἀνθρώπου see note c. 16 p. 72.

13. δελεάσματι] Cp. *antea* c. 21 δελέατος δίκην τῷ τῆς κακίας ἀγκίστρῳ τῆς τοῦ καλοῦ φαντασίας περιπλασθείσης.

ib. ὁ δὲ σκοπός] The purpose of the deception changes the nature of the action and makes it good.

17. ἐπινοίᾳ] Cp. *antea* c. 23 δι' ἐπινοίας with note.

19. αὐτὸν τὸν τ. ἀπ....ἐνεργ.] For the idea that Satan himself shall be purged and finally saved, see Orig. *de Princ.* iii 6 (cp. i 6).

ib. ἐκ γὰρ τοῦ προσ.] The

τοῦ προσεγγίσαι τῇ ζωῇ μὲν τὸν θάνατον, τῷ φωτὶ δὲ τὸ σκότος, τῇ ἀφθαρσίᾳ δὲ τὴν φθοράν, ἀφανισμὸς μὲν τοῦ χείρονος γίγνεται καὶ εἰς τὸ μὴ ὂν μεταχώρησις, ὠφέλεια δὲ τοῦ ἀπὸ τούτων καθαιρομένου. καθάπερ γάρ, ἀτιμοτέρας ὕλης τῷ χρυσῷ καταμιχθείσης, τῇ διὰ τοῦ πυρὸς δαπάνῃ τὸ ἀλλότριόν τε καὶ ἀπόβλητον οἱ θεραπευταὶ τοῦ χρυσίου καταναλώσαντες πάλιν ἐπανάγουσι πρὸς τὴν κατὰ φύσιν λαμπηδόνα τὴν προτιμοτέραν ὕλην· οὐκ ἄπονος μέντοι γίνεται ἡ διάκρισις, χρόνῳ τοῦ πυρὸς τῇ ἀναλωτικῇ δυνάμει τὸ νόθον ἐξαφανίζοντος, πλὴν ἀλλὰ θεραπεία τίς ἐστι τοῦ χρυσίου τὸ ἐκτακῆναι αὐτὸ τὸ ἐπὶ λύμῃ τοῦ κάλλους ἐγκείμενον· κατὰ τὸν αὐτὸν τρόπον, θανάτου καὶ φθορᾶς καὶ σκότους καὶ εἴ τι κακίας ἔκγονον τῷ εὑρετῇ τοῦ κακοῦ περιφυέντων, ὁ προσεγγισμὸς τῆς θείας δυνάμεως πυρὸς δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος εὐεργετεῖ τῇ καθάρσει τὴν φύσιν, κἂν ἐπίπονος ἡ διάκρισις ᾖ. οὐκοῦν οὐδ' ἂν παρ' αὐτοῦ τοῦ ἀντικειμένου μὴ εἶναι δίκαιόν τε καὶ σωτήριον τὸ γεγονὸς ἀμφιβάλοιτο, εἴπερ εἰς αἴσθησιν τῆς εὐεργεσίας ἔλθοι. νυνὶ γὰρ καθάπερ οἱ ἐπὶ θεραπείᾳ τεμνόμενοί τε καὶ καιόμενοι χαλεπαίνουσι τοῖς

5 της ατιμ. υλ. fl vulg ‖ 7 χρυσου dehnp ‖ 8 προτιμοτεραν] προτεραν fg^{1}l^{1}p* ‖ 11 αυτο] αυτω dgp παρ αυτω l vulg ‖ 12 καλλους] καλου l vulg ‖ 14 εγγονον deg$^{1\,vid}$ hnp ‖ 17 καθαρσει] αφθαρσια vulg+εξαιρεθεντος του αυτη καταμιχθεντος ου καλου g^{1} ‖ 19 -βαλλοιτο l vulg ‖ 20 ελθοι νυν· και γαρ gp ελθοι νυν· ει γαρ d (om γαρ e) l^{1}n ελθοι νυν· οι γαρ h ‖ θεραπειας e

contact of sinful creatures with God must result in the final disappearance of evil, and the purification of those affected by it. The Divine power acts as a refiner's fire, which shall purge even Satan himself. For the teaching of Gr. on the *κάθαρσις* of souls see cc. 8, 35 (notes). The allusion to the refiner's fire occurs in Orig. *c. Cels.* vi 44.

9. *οὐκ ἄπ. μέντοι*] The *μέντοι* is answered by *πλὴν ἀλλά* below.

19. *τὸ γεγονός*] i.e. the *ἀπάτη* practised.

ib. εἴπερ...ἔλθοι] The form of expression suggests uncertainty. Gr. is venturing a conjecture of what might possibly be.

20. *νυνὶ γάρ*] Similarly Origen urges (*c. Cels.* vi 56) that, as men do not blame physicians for the pain which they inflict, neither must men blame God for the pain of remedial punishments.

θεραπεύουσι, τῇ ὀδύνῃ τῆς τομῆς δριμυσσόμενοι, εἰ δὲ τὸ ὑγιαίνειν διὰ τούτων προσγένοιτο καὶ ἡ τῆς καύσεως ἀλγηδὼν παρέλθοι, χάριν εἴσονται τοῖς τὴν θεραπείαν ἐπ' αὐτῶν ἐνεργήσασι· κατὰ τὸν αὐτὸν τρόπον ταῖς μακραῖς περιόδοις ἐξαιρεθέντος τοῦ κακοῦ τῆς φύσεως, τοῦ νῦν αὐτῇ καταμιχθέντος καὶ συμφυέντος, ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις τῶν νῦν ἐν κακίᾳ κειμένων γένηται, ὁμόφωνος ἡ εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ τῶν ἐν τῇ καθάρσει κεκολασμένων καὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως. ταῦτα

2 τουτου l vulg || 4 επ αυτον e επ αυτους vulg || 6 αυτοις καταμ. vulg || om η e || 7 κειμενων] γενομενων g^1 || 8 om η l vulg

4. *ταῖς μ. περιόδοις*] For *περίοδος* in the sense of a 'circuitous route' cp. c. 15 p. 64 and c. 17 p. 73. In *de An. et Res.* pp. 152, 157 (Migne) Gr. uses the expressions *τοῖς καθήκουσι χρόνοις, μακραῖς ποτὲ περιόδοις*. See further note on *ἀποκατάστασις* below.

7. *εἰς τὸ ἀρχ.*] Gr. conceives of the primal condition of man and of his tempter, as it existed ideally, and as it would have been realized had not sin intervened.

ib. *ἀποκατάστασις*] The source of the phrase is Acts iii 21. For Gr.'s further treatment of the question see esp. *de An. et Res.* pp. 104, 152, 157—60 (Migne); *Or. de Mortuis* pp. 524, 525 (Migne); *de Hom. Opif.* c. 21, and c. 35 of this treatise. Germanus, Bp of Constantinople (*obiit* 733 A.D.), acc. to Photius (*Bibl. Cod.* 233), maintained that Gr.'s works had been falsified by the Origenists, who had inserted many passages from Origen's writings. But such language occurs too frequently in Gr.'s writings to admit of this supposition, which is not borne out by any indications of a change of style. Vincenzi (*in S. Greg. Nyss. et Origenis scripta et doctrinam*) has attempted to weaken the force of this universalistic teaching, by pointing to other passages where Gr. appears to assert the eternity of punishment. Thus in *Or. c. Usurarios* pp. 436, 452 (Migne) he has *αἰώνιος λύπη* and *ἡ αἰώνιος κόλασις*. Gr. in fact does not exhibit perfect consistency of language on the subject. In numerous passages he asserts the *ἀποκατάστασις*. In others (e.g. c. 40) he repeats the language of Scripture about 'the unquenchable fire' and 'the undying worm.' There is similar inconsistency in his treatment of human generation. See c. 28 p. 105 (note). In the present treatise his polemic against the Manichaeans and his idea of the negative character of evil would incline him to emphasize the restoration of all things. In *de An. et Res.* p. 104 (Migne) he makes use of 1 Cor. xv 28. See further *Introd.* p. xxiii, and on the subsequent history of the doctrine of *ἀποκατάστασις* see Schwane *Dogmengeschichte* ii pp. 240 f., 604 f., 611 f.

8. *ὁμόφωνος*] Gr. uses similar language in *de An. et Res.* p. 72 (Migne) *ἀλλὰ καὶ παρ' ἐκείνων ὁμοφώνως ἡ ὁμολογία τῆς τοῦ Χριστοῦ κυριότητος ἔσται.*

9–10. *τῶν...τῶν*] See c. 35 where the two classes are more exactly defined.

καὶ τὰ τοιαῦτα παραδίδωσι τὸ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως. δι' ὧν γὰρ κατεμίχθη τῇ ἀνθρωπότητι, διὰ πάντων τῶν τῆς φύσεως ἰδιωμάτων γενόμενος, γενέσεώς τε καὶ ἀνατροφῆς καὶ αὐξήσεως, καὶ μέχρι τῆς τοῦ θανάτου πείρας διεξελθών, τὰ προειρημένα πάντα κατείργασται, τόν τε ἄνθρωπον τῆς κακίας ἐλευθερῶν καὶ αὐτὸν τὸν τῆς κακίας εὑρετὴν ἰώμενος. ἴασις γάρ ἐστιν ἀρρωστίας ἡ τοῦ νοσήματος κάθαρσις, κἂν ἐπίπονος ᾖ.

27. Ἀκόλουθον δὲ πάντως τὸν πρὸς τὴν φύσιν ἡμῶν ἀνακιρνάμενον διὰ πάντων δέξασθαι τῶν ἰδιωμάτων αὐτῆς τὴν πρὸς ἡμᾶς συνανάκρασιν. καθάπερ γὰρ οἱ τὸν ῥύπον τῶν ἱματίων ἐκπλύνοντες οὐ τὰ μὲν ἐῶσι τῶν μολυσμάτων, τὰ δὲ ἀπορρύπτουσιν, ἀλλ' ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκκαθαίρουσι τῶν κηλίδων ἅπαν τὸ ὕφασμα, ὡς ἂν ὁμότιμον ἑαυτῷ δι' ὅλου τὸ ἱμάτιον γένοιτο, κατὰ τὸ

8 νοσηματος] σωματος gp **27.** 12 om γαρ deg*hnp || 14 απορριπτουσιν l vulg || 16 εαυτω] εν αυτω f || γενηται e || το κατα τ. ισ. l* vulg

3. *ἰδιωμάτων*] 'the properties' or 'distinguishing characteristics' of human nature. Cp. c. 27 *init.* and p. 104.

7. *αὐτὸν τὸν...εὑρετήν*] In this passage Gr. definitely connects the healing of Satan with the Incarnation. In what way its benefits were applied to the adversary he does not tell us, nor does he discuss the relation of the *κάθαρσις* to the historical work of Christ or show the relation of his idea to the language of Scripture.

27. *It was needful that He Who assumed our nature should assume it in all its distinctive features. That nature needed to be cleansed in every part. Corresponding to this the Power which restores human nature must embrace it in its whole extent from beginning to end. This could only be effected by a human birth. It might be urged that a heavenly body could have been assumed. But humanity was not in heaven, and there can be no cure which does not touch the ailing part. Again there is no more dishonour in assuming a human than a heavenly body. Everything created, whether in heaven or on earth, is equally below the dignity of God. But if all things are equally below God, the one thing that is consistent with His honour is to succour the needy. And it is this which we acknowledge Him to have done.*

11. *ἀνακιρνάμενον*] '*infusing Himself into.*' Cp. c. 11 *κατακιρνᾶται.*

ib. *ἰδιωμάτων*] Cp. c. 26 *supra* (note).

12. *συνανάκρασιν*] Cp. c. 16 p. 70, and see note c. 11 p. 57.

15. *ὕφασμα*] '*the whole texture of the garment.*'

16. *ὁμότιμον*] '*uniform in character.*'

ἴσον λαμπρυνθὲν ἐκ τῆς πλύσεως· οὕτως, μολυνθείσης τῇ ἁμαρτίᾳ τῆς ἀνθρωπίνης ζωῆς ἐν ἀρχῇ τε καὶ τελευτῇ καὶ τοῖς διὰ μέσου πᾶσιν, ἔδει διὰ πάντων γενέσθαι τὴν ἐκπλύνουσαν δύναμιν, καὶ μὴ τὸ μέν τι θεραπεῦσαι τῷ καθαρσίῳ, τὸ δὲ περιδεῖν ἀθεράπευτον. τούτου χάριν τῆς ζωῆς ἡμῶν δύο πέρασιν ἑκατέρωθεν διειλημμένης, τὸ κατὰ τὴν ἀρχήν φημι καὶ τὸ τέλος, καθ' ἑκάτερον εὑρίσκεται πέρας ἡ διορθωτικὴ τῆς φύσεως δύναμις, καὶ τῆς ἀρχῆς ἀψαμένη καὶ μέχρι τοῦ τέλους ἑαυτὴν ἐπεκτείνασα καὶ τὰ διὰ μέσου τούτων πάντα διαλαβοῦσα. μιᾶς δὲ πᾶσιν ἀνθρώποις τῆς εἰς τὴν ζωὴν οὔσης παρόδου, πόθεν ἔδει τὸν εἰσιόντα πρὸς ἡμᾶς εἰσοικισθῆναι τῷ βίῳ; ἐξ οὐρανοῦ, φησὶ τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ εἶδος τῆς ἀνθρωπίνης γενέσεως. ἀλλ' οὐκ ἦν ἐν οὐρανῷ τὸ ἀνθρώπινον, οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ ζωῇ κακίας νόσος ἐπεχωρίαζεν. ὁ δὲ τῷ ἀνθρώπῳ καταμιγνύμενος τῷ σκοπῷ τῆς ὠφελείας ἐποιεῖτο τὴν συνανάκρασιν. ἔνθα τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδὲ ὁ ἀνθρώπινος ἐπολιτεύετο βίος, πῶς ἐπιζητεῖ τις ἐκεῖθεν

4 om τι deghnp || 7 τω κατα dehn || 9 om του e || επεκτεινουσα e || 10 το δια p || 11 μιας δε] existant seqq in euth 1456 || 12 οικισθηναι l vulg || 13 φησει el*vidn φυσει h euth 16 || 16 επεχωριασεν dglp || 16–18 ο δε...συνανακρασιν om euth 16 || 17 προς τω σκοπω f || 18 ανακρασιν d και συνανακ. f || 19 om ο fl vulg

4–5. τῷ καθαρσίῳ] On the word καθάρσιον see Suicer. It is here used in its primary sense of a 'purification.'

6. διειλημμένης] '*embraced within two limits, one on either side.*' Cp. διαλαβοῦσα below.

10. τὰ διὰ μέσου] Gr. assigns a place in the work of redemption to the whole of Christ's earthly life and not merely to the death. Similarly Iren. ii 33. 2 says: Omnes enim venit per semetipsum salvare ...infantes, et parvulos, et pueros, et iuvenes, et seniores. Ideo per omnem venit aetatem.

11. μιᾶς δέ] The section which follows as far as the end of ch. 28 is reproduced in Euthymius Zig. *Pan. Dogm.* pt i tit. vii pp. 224 f. (Migne).

12. εἰσοικισθῆναι] Cp. c. 24 τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης.

13. ἐξ οὐρανοῦ] The belief that the flesh of Christ descended from Heaven was actually attributed to Apollinaris (cp. Vincent Lir. *Common.* xii (17)), though apparently without sufficient reason. The idea however seems to have been current and was refuted by Greg. Naz. in his first Epistle to Cledonius. This may have suggested the idea here to Gr.

τῳ θεῷ περιπλακῆναι τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλὰ ἀνθρώπου τι εἴδωλον καὶ ὁμοίωμα; τίς δ' ἂν ἐγένετο τῆς φύσεως ἡμῶν ἡ διόρθωσις, εἰ τοῦ ἐπιγείου ζῴου νενοσηκότος ἕτερόν τι τῶν οὐρανίων τὴν θείαν ἐπιμιξίαν ἐδέξατο; οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ πονοῦντος μέρους ἰδιαζόντως δέξαμένου τὴν ἴασιν. εἰ οὖν τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῆς βλέπουσα πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία. τὸ μὲν γὰρ ἀπρεπὲς ἐπὶ τῆς θεότητος ἴσον, εἴπερ ὅλως θεμιτόν ἐστιν ἄλλο τι παρὰ τὴν κακίαν ἀπρεπὲς ἐννοεῖν. πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν θείαν μεγαλειότητα, ἐν τῷ μὴ δέξασθαι τῶν τῆς φύσεως

3 om η euth 456 ‖ 5 επιμιξ.] επιδημιαν l vulg ‖ 8 εαυτη l^1 euth

1. περιπλακῆναι] lit. 'that the man should be enfolded around the God.' The humanity is conceived of as a vesture with which the Godhead is clothed. For τὸν ἄνθρωπον cp. c. 16 ἐν γὰρ τῷ ἀναληφθέντι παρ' αὐτοῦ ἀνθρώπῳ (note).

2. εἴδωλον] A body taken from any other source than human nature would be nothing else than an imitation of a man.

3. τίς δ' ἄν] Another argument against the suggestion contained in ἐξ οὐρανοῦ above. Human nature would not benefit from the commingling of the Divine with anything else but itself. The remedy must be applied to the ailing part.

8–9. πρὸς τὸ...πρέπον] A causal clause attached closely to the hypothetical statement εἰ...μὴ ἐφήψατο. Ἑαυτῆς is governed by πρέπον which is found in a few cases with the *gen.* Cp. Soph. *Ajax* 534 with Jebb's note. Here the *gen.* may be due to the substantival notion contained in τὸ πρέπον.

9–10. ἡ...ἀσχολία] '*The occupation of the Divine Power with objects which have nothing in common with us would have been of no profit to man.*' In τὰ μ. ἡ. ἐπικοινωνοῦντα he is of course referring to τὰ οὐράνια above.

11. τὸ μὲν γὰρ ἀπρεπές] Gr. now passes on to another point. The indignity to God is no greater in the case of the assumption of an earthly, than of a heavenly body. The real line of demarcation is not between earthly and heavenly, but between created and uncreated.

ib. εἴπερ] Gr. contests in his usual manner the appropriateness of the use of the word ἀπρεπές with reference to anything but moral evil.

13. πλὴν κ.τ.λ.] '*But for him who in a narrow spirit judges that the Divine majesty consists in this, that it does not admit of participation in the peculiarities of our nature, the dishonour is not lessened by the fact that the Divine Being is conformed to a heavenly rather than to an earthly body.*'

ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν, οὐδὲν μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸ θεῖον. τοῦ γὰρ ὑψίστου καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. τὸ γὰρ καθ' ὅλου ἀπρόσιτον οὔ τινι μέν ἐστι προσιτόν, τῷ δὲ ἀπροσπέλαστον, ἀλλ' ἐπ' ἴσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. οὔτε οὖν ἡ γῆ πορρωτέρω τῆς ἀξίας ἐστίν, οὔτε ὁ οὐρανὸς πλησιαίτερος, οὔτε τὰ ἐν ἑκατέρῳ τῶν στοιχείων ἐνδιαιτώμενα διαφέρει τι ἀλλήλων ἐν τῷ μέρει τούτῳ, ὡς τὰ μὲν ἐφάπτεσθαι τῆς ἀπροσίτου φύσεως, τὰ δὲ ἀποκρίνεσθαι, ἢ οὕτω γ' ἂν μὴ διὰ πάντων ἐπ' ἴσης διήκειν τὴν τὸ πᾶν ἐπικρατοῦσαν δύναμιν ὑπονοήσαιμεν, ἀλλ' ἔν τισι πλεονάζουσαν, ἐν ἑτέροις ἐνδεεστέραν εἶναι, καὶ τῇ πρὸς τὸ ἔλαττόν τε καὶ πλέον καὶ μᾶλλον καὶ ἧττον διαφορᾷ σύνθετον ἐκ τοῦ ἀκολούθου τὸ θεῖον ἀναφανήσεται, αὐτὸ πρὸς ἑαυτὸ μὴ συμβαῖνον, εἴπερ ἡμῶν πόρρωθεν ὑπονοοῖτο· εἶναι τῷ λόγῳ τῆς φύσεως, ἑτέρῳ δέ τινι γειτνιῶν καὶ εὐλήπτου ἐκ τοῦ

4–5 αφ. επι τ. κ. f || 7 τινι δε απ. g^{11} || το δε απ. vulg || om των οντων p || 8 υπερανεστηκεν] desunt seqq in euth || 9 πλησιεστερος l vulg || 10 απ αλληλων p || 12 ουτω] ουτε vulg || μη] μητε del vulg ει μη n || 13 διακρατουσαν g^{1} || 16 το μαλλον και το ηττον d || 18 μη πορρωθεν dghnp || επινοοιτο g^{*}p || 19 γειτνιωη dghnp || ευληπτος $f1^{*}$ vulg

1. *ἰδιωμάτων*] slightly diff. from the use *supra* and in c. 26. Here it is rather 'peculiarities.'

ib. *παραμυθεῖται*] 'pacify,' 'relieve,' 'soften.' The subj. of the verb is *συσχ. τὸ θεῖον*.

6. *καθ' ὅλου*] God transcends creation absolutely and not merely relatively.

12. *ἢ οὕτω γ' ἄν*] To assume that some parts of Creation are nearer than others to the Divine Nature impairs belief in the completeness of the Divine immanence.

16. *σύνθετον*] '*on account of the difference of measure and degree, the Divine Being will in consequence appear to be composite, and incongruous with itself, if it be conceived to be remote from us, so far as its nature is concerned, but be adjacent to some other created thing and from its nearness easily apprehended.*'

18. *τῷ λόγῳ τῆς φύσεως*] is explained by *τῆς ἀπροσίτου φύσεως* above. Gr. is referring to the false deductions drawn from the greatness of God.

σύνεγγυς γίγνοιτο. ἀλλ' ὁ ἀληθὴς λόγος ἐπὶ τῆς ὑψηλῆς ἀξίας οὔτε κάτω βλέπει διὰ συγκρίσεως, οὔτε ἄνω· πάντα γὰρ κατὰ τὸ ἴσον τὴν τοῦ παντὸς ἐπιστατοῦσαν δύναμιν ὑποβέβηκεν, ὥστε, εἰ τὴν ἐπίγειον φύσιν ἀναξίαν τῆς πρὸς τὸ θεῖον οἰήσονται συμπλοκῆς, οὐδ' ἂν ἄλλη τις εὑρεθείη τὸ ἄξιον ἔχουσα. εἰ δὲ ἐπ' ἴσης πάντα τῆς ἀξίας ἀπολιμπάνεται, ἓν πρέπον ἐστὶ τῷ θεῷ τὸ εὐεργετεῖν τὸν δεόμενον. ὅπου τοίνυν ἦν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν;

28. Ἀλλὰ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον, ὡς ἀπρεπὲς ὂν θεῷ διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι. ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι μόνον αἰσχρὸν τῇ ἑαυτοῦ φύσει τὸ κακόν ἐστι καὶ εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχει. ἡ δὲ τῆς φύσεως ἀκολουθία, θείῳ βουλή-

1 της υψηλης] της ισης g^1 om της h || 3–4 της...επιστατουσης δυναμεως ehn || 7 εν πρεπ.] εμπρεπον l^{*vid} vulg || om τω θεω d om τω fl **28.** 12 γεννησεως]+ημων l vulg || διαθρυλουσι degp || 13 ον] ων f euth 16 || 14 τω θεω l vulg || 17 εαυτου] εφ εαυτου g^*p || 17–18 και ει...εχει] καν...εχη l vulg

1. ὁ ἀληθὴς λόγος] 'The true account' in dealing with the transcendent dignity of God does not compare what is 'above' with what is 'below' in creation. The true comparison is between creation and the Creator. All created things are equally beneath the Divine Power.

7. ἓν πρέπον] The real justification of the assumption by God of human nature is to be found in the moral character of God. It is consistent with His character to succour the needy.

28. *Gr. vindicates the manner of human birth against the objection that it was unbecoming that God should enter human life in this way. The only thing which is inconsistent with the character of God is moral evil. There is nothing evil or dishonourable in the bodily constitution of man. The organs of human birth are worthy of not less, but more honour than our other organs, for through them is secured the immortality of the race.*

11. κωμῳδοῦσι] '*they ridicule our nature, and harp upon the manner of our birth.*' Διαθρυλλεῖν = 'to keep on talking about.'

12. διὰ τούτων] 'by these means,' i.e. by what they say in derogation of nature and its processes.

15. ἐφάψασθαι] Cp. c. 16 τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι.

ib. ἤδη...εἰρ.] i.e. cc. 9, 16.

18. ἀκολουθία] '*sequence*' or '*course of nature.*' Contrast Gr.'s language in *de Virg.* c. 12.

ματι καὶ νόμῳ διαταχθεῖσα, πόρρω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς, ἣ οὕτω γ' ἂν ἐπὶ τὸν δημιουργὸν ἡ κατηγορία τῆς φύσεως ἐπανίοι, εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρόν τε καὶ ἀπρεπὲς διαβάλλοιτο. εἰ οὖν μόνης κακίας τὸ θεῖον κεχώρισται, φύσις δὲ κακία οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ γενέσθαι τὸν θεόν, οὐκ ἐν κακίᾳ λέγει, ἡ δὲ τοῦ ἀνθρώπου ἐπὶ τὸν βίον εἴσοδος μία ἐστί, δι' ἧς παράγεται ἐπὶ τὴν ζωὴν τὸ γεννώμενον, τίνα νομοθετοῦσιν ἕτερον τρόπον τῷ θεῷ τῆς εἰς τὸν βίον παρόδου οἱ ἐπισκεφθῆναι μὲν παρὰ τῆς θείας δυνάμεως ἀσθενήσασαν ἐν κακίᾳ τὴν φύσιν εὔλογον κρίνοντες, πρὸς δὲ τὸν τῆς ἐπισκέψεως τρόπον δυσαρεστούμενοι, οὐκ εἰδότες ὅτι πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει, καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν τῆς ζωῆς συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται; πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ πᾶσα συντέτακται. ὁ δὲ σκοπός ἐστι τὸ διαμένειν ἐν τῇ ζωῇ τὸ ἀνθρώπινον. τὰ μὲν οὖν λοιπὰ τῶν ὀργάνων τὴν παροῦσαν

2 γ αν] γαρ f || 4 om τε vulg || διαβαλοιτο f διαβαλλεται e || om μονης euth || 5 η φυσις p φυσει euth 16 || κακιας fl vulg || 7 ει δε el* vulg || 8 παραγινεται l vulg || ζωην] desunt reliqua in euth 4 || γενομενον h || 9 τινα] νομον μεν τινα fl*vid vulg || 12 κριναντες f || 18 το διαμενειν] om το l vulg || τον ανθρωπον l vulg

1. πόρρω κ.τ.λ.] '*is unassailable on the ground of moral evil.*'

2. δημιουργόν] 'the Maker,' a sense of δημ. found in Plato (cp. e.g. *Rep.* 530 A) and esp. in the Neo-Platonic writers.

4. εἰ οὖν] The apodosis begins with τίνα κ.τ.λ., the clauses τὸ δὲ μυστ. and ἡ δὲ τοῦ ἀνθρ. forming part of the protasis.

10. ἐπισκεφθῆναι] For this word and ἐπισκέψεως below cp. note on ἐπίσκεψιν c. 15.

11. ἀσθεν....τὴν φύσιν] For the construction of this clause cp. c. 16 ἐν τῇ φύσει...πορευομένῃ and c. 37 τῷ φθοροποιῷ...ἀναμιχθέντι.

14. ὁμοτίμως ἔχει] '*is of uniform value*,' as contrasted with ἄτιμον below. Cp. ὁμότιμον c. 27.

17. ὀργανικῶν μελῶν] '*the whole organic structure of the body*.' The phrase τὰ ὀργανικὰ μέλη comes from Aristotle. See *Eth. N.* 3. 1. 16.

19. τὰ μὲν οὖν] The other bodily organs have as their aim the maintenance of the already existing life of man. By them 'the power of perceiving and acting' (ἡ αἰσθητική τε καὶ ἐνεργητικὴ δύναμις) is exercised. The generative organs have in view the future, and secure, by the propagation of the species, the continuance of the race.

συνέχει τῶν ἀνθρώπων ζωήν, ἄλλα πρὸς ἄλλην ἐνέργειαν μεμερισμένα, δι' ὧν ἡ αἰσθητική τε καὶ ἐνεργητικὴ δύναμις οἰκονομεῖται· τὰ δὲ γεννητικὰ τοῦ μέλλοντος ἔχει τὴν πρόνοιαν, δι' ἑαυτῶν τῇ φύσει τὴν διαδοχὴν ἀντεισάγοντα. εἰ οὖν πρὸς τὸ χρειῶδες βλέποις, τίνος ἂν εἴη τῶν τιμίων εἶναι νομιζομένων ἐκεῖνα δεύτερα; τίνος δὲ οὐκ ἂν προτιμότερα κατὰ τὸ εὔλογον κρίνοιτο; οὐ γὰρ ὀφθαλμῷ καὶ ἀκοῇ καὶ γλώσσῃ, ἢ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων πρὸς τὸ διηνεκὲς τὸ γένος ἡμῶν διεξάγεται· ταῦτα γάρ, καθὼς εἴρηται, τῆς παρούσης ἐστὶν ἀπολαύσεως· ἀλλ' ἐν ἐκείνοις ἡ ἀθανασία συντηρεῖται τῇ ἀνθρωπότητι, ὡς ἀεὶ καθ' ἡμῶν ἐνεργοῦντα τὸν θάνατον ἄπρακτον εἶναι τρόπον τινὰ καὶ ἀνήνυτον, πάντοτε πρὸς τὸ λεῖπον διὰ τῶν ἐπιγινομένων ἑαυτὴν ἀντεισαγούσης τῆς φύσεως. τί οὖν ἀπρεπὲς περιέχει ἡμῶν τὸ μυστήριον, εἰ διὰ τούτων κατεμίχθη ὁ θεὸς τῷ ἀνθρωπίνῳ βίῳ, δι' ὧν ἡ φύσις πρὸς τὸν θάνατον μάχεται;

29. Ἀλλὰ μεταβάντες ἀπὸ τούτου δι' ἑτέρων πάλιν

1 τω ανθρωπω vulg ‖ 2 η ενεργητικη dhlnp vulg ‖ 4 om τη vulg ‖ 6 om νομιζομενων εκεινα e ‖ 13–14 δια των] δι αυτων vulg ‖ 14 αντεισαγαγουσης vulg ‖ 15 δια τουτων]+εκ παρθενου καθαρας euth ‖ 17 μαχεται] δεχεται e: desinit euth

1. *συνέχει*] '*hold together*,' '*maintain in being*.' Cp. *συνεκτική* c. 5. For this use of *ζωή* cp. c. 8 *τὴν ζωὴν...διαλύεσθαι*.

5. *τὸ χρειῶδες*] '*utility*.'

ib. *τίνος ἂν εἴη*] Greg. has in mind the passage 1 Cor. xii 14—24.

9. *διεξάγεται*] 'conducted,' 'carried on,' '*maintained*.' Cp. Greg. Naz. *Or.* xxviii 16 *καθ' ὃν τὸ πᾶν φέρεταί τε καὶ διεξάγεται*.

10. *τῆς π....ἀπολ.*] The senses mentioned 'are concerned with present enjoyment.' The *gen.* is possessive. With *τῆς παρ. ἀπολαύσεως* cp. *τὴν παροῦσαν ζωήν* above.

11. *ἐκείνοις*] refers to *τὰ γεννητικά*.

12. *ὡς...εἶναι*] The clause is consecutive. '*So that death, though continually operating against us, is rendered, in a way, ineffectual and fruitless*.'

14. *ἀντεισαγούσης*] '*Since, by means of the succeeding generations, nature is ever introducing herself to fill up the gap*.'

29. '*Why*,' *it may be asked*, '*was the Incarnation so long delayed?*' *To this Gr. replies by adducing the illustration of the physician who allows a disease to come to the surface before he applies his remedy.*

κακίζειν ἐπιχειροῦσι τὸν λόγον καί φασιν, εἰ καλὸν καὶ πρέπον τῷ θεῷ τὸ γενόμενον, τί ἀνεβάλετο τὴν εὐεργεσίαν; τί δὲ οὐκ ἐν ἀρχαῖς οὔσης τῆς κακίας τὴν ἐπὶ τὸ πλέον αὐτῆς πρόοδον ὑπετέμετο; πρὸς δὲ τοῦτο σύντομος ὁ παρ' ἡμῶν ἐστὶ λόγος, ὅτι σοφίᾳ γέγονε καὶ τοῦ λυσιτελοῦντος τῇ φύσει προμηθείᾳ ἡ πρὸς τὴν εὐεργεσίαν ἡμῶν ἀναβολή. καὶ γὰρ ἐπὶ τῶν σωματικῶν νοσημάτων, ὅταν τις διεφθορὼς χυμὸς ὑφέρπῃ τοὺς πόρους, πρὶν ἅπαν ἐπὶ τὴν ἐπιφάνειαν ἐκκαλυφθῆναι τὸ παρὰ φύσιν ἐγκείμενον, οὐ καταφαρμακεύεται τοῖς πυκνοῦσι τὸ σῶμα παρὰ τῶν τεχνικῶς μεθοδευόντων τὰ πάθη, ἀλλ' ἀναμένουσι τὸ ἐνδομυχοῦν ἅπαν ἔξω γενέσθαι, καὶ οὕτω γυμνῷ τῷ πάθει τὴν ἰατρείαν προσάγουσιν. ἐπειδὴ τοίνυν ἅπαξ ἐνέσκηψε τῇ φύσει τῆς ἀνθρωπότητος ἡ τῆς κακίας νόσος, ἀνέμεινεν ὁ τοῦ παντὸς θεραπευτὴς μηδὲν ὑπολειφθῆναι τῆς πονηρίας εἶδος ἐγκεκρυμμένον τῇ φύσει. διὰ τοῦτο οὐκ εὐθὺς μετὰ

20. 1 φησι p || 2 om τω gnp || 3 τι δε] exstant seqq in euth 156 || 4 πλειον l vulg || αυτης] εαυτης e αυτου g* || παροδον d || υπετεμνετο vulg || τουτους f || 5 παρ ημιν e || om και e || 8–9 τους πορους] πονους l* om τους f vulg || 9 εμφανειαν vulg || εκκαλυφθ.] ελκυσθηναι euth || 12 μενουσι l* vulg || 15 ανεμενεν vulg

1. κακίζειν] '*to find fault with.*' Τὸν λόγον, 'our teaching.'

2. τί ἀνεβάλετο] This question is also dealt with by Athanasius *Or. c. Ar.* i 29, ii 68. In the *Or. in diem nat. Christi* (a spurious work, printed in the edd. of Gregory) there is a passage dealing with the same question, which is plainly modelled on the present passage. See Migne, pp. 1130—1.

3. τί δὲ οὐκ] The following passage as far as διοχλοῦσαν τὸν βίον in c. 30 is quoted in Euth. Zig. *Pan. Dogm.* pt i tit. vii (pp. 228, 229, Migne).

4. ὑπετέμετο] 'intercept,' 'cut off' its further advance. Cp. Ar. *Eq.* 291 ὑποτεμοῦμαι τὰς ὁδούς σου.

7. ἐπὶ τῶν σωμ.] The same illustration occurs in Origen *de Princ.* iii 13, with reference to God's dealing with sinners. It is reproduced in the *Or. in diem nat. Christi* p. 1132 (Migne).

8. διεφθορώς] intrans. Χυμός 'humour,' used of the bodily juices. '*When some corrupt humour steals beneath the pores.*'

10. οὐ καταφ.] '*it is not treated with drugs which close up the body.*' The object of the physician in such cases is to open the pores of the body and bring out the disease.

12. τὸ ἐνδομυχοῦν] 'lurking within,' '*hidden.*' Ἀναμένειν takes here, and below, the acc. and inf., as often in class. Greek.

τὸν φθόνον καὶ τὴν ἀδελφοκτονίαν τοῦ Κάιν προσάγει τῷ ἀνθρώπῳ τὴν θεραπείαν· οὕπω γὰρ τῶν ἐπὶ Νῶε καταφθαρέντων ἡ κακία ἐξέλαμψεν, οὐδὲ τῆς Σοδομιτικῆς παρανομίας ἡ χαλεπὴ νόσος ἀνεκαλύφθη, οὐδὲ ἡ τῶν Αἰγυπτίων θεομαχία, οὐδὲ ἡ τῶν Ἀσσυρίων ὑπερηφανία, οὐδὲ ἡ τῶν Ἰουδαίων κατὰ τῶν ἁγίων τοῦ θεοῦ μιαιφονία, οὐδὲ ἡ τοῦ Ἡρῴδου παράνομος παιδοφονία, οὐδὲ τὰ ἄλλα πάντα ὅσα τε μνημονεύεται καὶ ὅσα ἔξω τῆς ἱστορίας ἐν ταῖς καθεξῆς γενεαῖς κατεπράχθη, πολυτρόπως τῆς τοῦ κακοῦ ῥίζης ἐν ταῖς τῶν ἀνθρώπων προαιρέσεσι βλαστανούσης. ἐπεὶ οὖν πρὸς τὸ ἀκρότατον ἔφθασε μέτρον ἡ κακία, καὶ οὐδὲν ἔτι πονηρίας εἶδος ἐν τοῖς ἀνθρώποις ἀτόλμητον ἦν, ὡς ἂν διὰ πάσης τῆς ἀρρωστίας προχωρήσειεν ἡ θεραπεία, τούτου χάριν οὐκ ἀρχομένην, ἀλλὰ τελειωθεῖσαν θεραπεύει τὴν νόσον.

30. Εἰ δέ τις ἐλέγχειν οἴεται τὸν ἡμέτερον λόγον, ὅτι καὶ μετὰ τὸ προσαχθῆναι τὴν θεραπείαν ἔτι πλημ-

3 om καταφθαρεντων e || σοδομιτικης] σομιτικης h σωματικης dg*l*p (habet in marg τα γομορρα λεγει p) || 4 απεκαλυφθη efhn euth || η ουδε l vulg || 5 θεομαχια] μονομαχια e || 6–7 ουδε η τ. Ιουδ....μιαιφονια om l* vulg || 7 ουδε...παιδοφονια om n euth || παιδοφονια] μιαιφονια e || 9 της εξω ιστοριας e || 12 μετρον εφθασεν ef

5. θεομαχία] '*war against God*,' with reference, of course, to Pharaoh. See *Or. in d. n. Christi* l.c. ποῦ γὰρ ὁ θεομάχος Φαραώ; The word θεομάχος occurs in Acts v 39. Similarly Chrysostom, in his panegyric on the Egyptian martyrs (ii 699, ed. Montf.), speaks of Αἰγύπτου τῆς θεομάχου καὶ μανικωτάτης.

ib. ὑπερηφανία] 'pride,' 'arrogance.' The word is used by the fathers to denote contempt of God and insolence to men. See exx. cited by Suicer. The author of the *Or. in diem nat. Christi* l.c. has a similar passage: τὴν Ἀσσυρίων βασιλείαν, καὶ τοῦ Ναβουχοδονόσορ τὴν ὑπερηφανίαν. Cp. Is. xxxvii 23, 24. Possibly, however, Gr. was for the moment confusing the Assyrians with the Chaldaeans. Cp. Hab. ii 4, 5.

6. Ἰουδαίων] Cp. Mt. xxiii 34, 35. Μιαιφονία, '*blood-guiltiness*.'

7. παιδοφονία] Mt. ii 16—18.

9. ἔξω τῆς ἱστ.] i.e. unrecorded.

30. '*Why*,' *it may be asked*, '*has not sin ceased now that the remedy has been applied?*' *To this Gr. answers by an illustration. When a serpent has received a deadly blow on the head, the blow does not immediately deprive the extremities of life. In like manner sin has received its*

μελεῖται διὰ τῶν ἁμαρτημάτων ὁ ἀνθρώπινος βίος, ὑποδείγματί τινι τῶν γνωρίμων ὁδηγηθήτω πρὸς τὴν ἀλήθειαν. ὥσπερ γὰρ ἐπὶ τοῦ ὄφεως, εἰ κατὰ κεφαλῆς τὴν καιρίαν λάβοι, οὐκ εὐθὺς συννεκροῦται τῇ κεφαλῇ καὶ ὁ κατόπιν ὀλκός, ἀλλ' ἡ μὲν τέθνηκε, τὸ δὲ οὐραῖον ἔτι ἐψύχωται τῷ ἰδίῳ θυμῷ καὶ τῆς ζωτικῆς κινήσεως οὐκ ἐστέρηται, οὕτως ἔστι καὶ τὴν κακίαν ἰδεῖν τῷ μὲν καιρίῳ πληγεῖσαν, ἐν δὲ τοῖς λειψάνοις ἑαυτῆς ἔτι διοχλοῦσαν τὸν βίον. ἀλλ' ἀφέντες καὶ τὸ περὶ τούτων τὸν λόγον τοῦ μυστηρίου μέμφεσθαι, τὸ μὴ διὰ πάντων διήκειν τῶν ἀνθρώπων τὴν πίστιν ἐν αἰτίᾳ ποιοῦνται. καὶ τί δήποτε, φασίν, οὐκ ἐπὶ πάντας ἦλθεν ἡ χάρις, ἀλλὰ

30. 1 δι αμαρτηματων d ‖ 3 της κεφαλης deghnp ‖ 5 ο κατ. ολκος] του σωματος ολκος f ‖ ουρεον vulg ‖ 6 εμψυχωται f ‖ κινησεως] δυναμεως l vulg ‖ 7 εστερηται]+τω ιδιω θυμω d ‖ 9 τον βιον] τω βιω l vulg: desinit euth ‖ το] τον hl* vulg ‖ 10 μεμφονται του μυστ. και το f ‖ 12 φησιν e

despatch, but though moribund it is not yet wholly dead. A further objection arises out of the fact that grace has not come to all. This, it is argued, shews either a want of will or a want of power on God's part. Gr. replies that the objection might have weight if all had not had the chance of accepting God's offer. But the Christian faith has been proclaimed in all languages. Again, God has left something to man's initiative. He is free to accept or refuse, and if he refuses the grace which is offered, it is not God who is to be blamed for such refusal, but man.

3. ὥσπερ γάρ] The simile is reproduced in *Or. in diem nat. Christi* p. 1133 (Migne).

4. τὴν καιρίαν] sc. πληγήν.

5. ὁ κατόπιν ὀλκός] '*the coil behind*,' i.e. all that follows the head. Ὀλκός is used of the trail of a serpent. Here='coil.'

6. ἐψύχωται] 'kept alive,' 'animated.'

ib. θυμῷ] 'spirit,' here used of the animal life, as in Plato's division of the animal part of the soul into θυμός and ἐπιθυμία. See *Rep.* 439 E and cp. 410 D.

ib. τῆς ζωτικῆς κινήσεως] '*vital motion*.'

8. λειψάνοις] '*still in its remnants harassing the life of man*.' Βίον is used absolutely for 'human life.' For this sense cp. c. 8 τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι (note).

9. ἀλλ' ἀφέντες] Gr. now passes on to another objection, the want of universality in the spread of Christianity. '*But abandoning their complaint against the teaching of our religion on this point also, they make it a matter of accusation that*.'

12. ἡ χάρις] A synonym for the Gospel, as commonly in St Paul's epistles. Cp. Acts xx 24, 2 Cor. vi 1, viii 9, Col. i 6 (with Lightfoot's note).

τινῶν προσθεμένων τῷ λόγῳ οὐ μικρόν ἐστι τὸ ὑπολειπόμενον μέρος, ἢ μὴ βουληθέντος τοῦ θεοῦ πᾶσιν ἀφθόνως τὴν εὐεργεσίαν νεῖμαι, ἢ μὴ δυνηθέντος πάντως; ὧν οὐθέτερον καθαρεύει τῆς μέμψεως. οὔτε γὰρ ἀβούλητον εἶναι τὸ ἀγαθὸν προσήκει τῷ θεῷ, οὔτε ἀδύνατον. εἰ οὖν ἀγαθόν τι ἡ πίστις, διὰ τί, φασίν, οὐκ ἐπὶ πάντας ἡ χάρις; εἰ μὲν οὖν ταῦτα καὶ παρ' ἡμῶν ἐν τῷ λόγῳ κατεσκευάζετο, τὸ παρὰ τοῦ θείου βουλήματος ἀποκληροῦσθαι τοῖς ἀνθρώποις τὴν πίστιν, τῶν μὲν καλουμένων, τῶν δὲ λοιπῶν ἀμοιρούντων τῆς κλήσεως, καιρὸν εἶχεν τὸ τοιοῦτον ἔγ-

1 λειπομενον f ‖ 2 πασαν l vulg ‖ 3 νειμαι] ειναι l vulg ‖ 3–4 ων ουθ ετερον dp vulg παντως ουν ου θατερον f ‖ 5 προσηκει τ. α. f ‖ 6 φησιν e ‖ 8 om το f vulg ‖ 9 των μεν] τωνδε μεν l ‖ 10 αν ειχε deghnp

1. προσθεμένων] '*while some attached themselves to the word.*' Λόγος is used as commonly in the N.T. of the preaching of the Gospel. Cp. e.g. Acts iv 4.

2. ἢ μὴ βουλ.] Such want of universality, it is urged, shewed either a lack of will, or a lack of power, on God's part. Compare with this whole section Butler's *Analogy* ii 6 'Of the want of Universality in Revelation.'

4. ἀβούλητον] 'not according to His will,' i.e. that God does not will to do what is good.

7. ταῦτα] i.e. τὸ...ἀποκληροῦσθαι which follows. '*If, therefore, in our argument, we had taken up this position.*' For κατασκευάζειν, used of the structure of an argument, cp. c. 1 κατασκευάσει (note).

8. ἀποκληροῦσθαι] '*That faith is dealt out at haphazard, some being called and the rest having no part in the call.*' Ἀποκληροῦν = 'to assign by lot,' with the further thought of distribution at random, and not on a rational principle. Thus ἀποκληρωτικῶς is contrasted by Origen with τεταγμένως and ὡρισμένως, and co-ordinated with κατὰ συντυχίαν. See *Philocal.* (ed. Rob.) p. 210, and esp. p. 242 where he says φρονοῦσιν ὡς ἄρα κατὰ ἀποκλήρωσιν ὁ θεὸς ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. This rendering is preferable to that of Hervetus (in the Latin version of 1573), who translates 'abdicaretur fides,' taking ἀποκληροῦν in the sense of 'exhaeredes facere.' Cp. Ar. *Pol.* vii 11. 8 ἀποκληροῦν τοὺς πλείους, and the cognate word ἀπόκληρος. The idea of Gr. is that there is no exclusive or arbitrary bestowal of grace on particular classes. It is offered by God freely to all. In this denial of an un-scriptural form of the doctrine of election, and in his insistence on the freedom of the will, Gregory's language recalls that of Justin Martyr *Apol.* i 43 εἰ γὰρ εἵμαρται τόνδε τινὰ ἀγαθὸν εἶναι καὶ τόνδε φαῦλον, οὐθ' οὗτος ἀπόδεκτος οὐδὲ ἐκεῖνος μεμπτέος. καὶ αὖ εἰ μὴ προαιρέσει ἐλευθέρᾳ πρὸς τὸ φεύγειν τὰ αἰσχρὰ καὶ αἱρεῖσθαι τὰ καλὰ δύναμιν ἔχει τὸ ἀνθρώπειον γένος, ἀναλτιόν ἐστι τῶν ὁπωσδήποτε πραττομένων. For Gr.'s insistence on free-will see c. 7 (notes).

9. καλουμένων] used in its N.T. sense, like κλῆσις, which follows, of the call to the knowledge of the Gospel.

10. εἶχεν] The omission of ἄν (acc. to the best MSS) marks the

κλημα κατὰ τοῦ μυστηρίου προφέρεσθαι· εἰ δὲ ὁμότιμος ἐπὶ πάντας ἡ κλῆσις, οὔτε ἀξίας, οὔτε ἡλικίας, οὔτε τὰς κατὰ τὰ ἔθνη διαφορὰς διακρίνουσα· διὰ τοῦτο γὰρ παρὰ τὴν πρώτην ἀρχὴν τοῦ κηρύγματος ὁμόγλωσσοι πᾶσι τοῖς ἔθνεσιν οἱ διακονοῦντες τὸν λόγον ἐκ θείας ἐπιπνοίας ἀθρόως ἐγένοντο, ὡς ἂν μηδεὶς τῆς διδαχῆς τῶν ἀγαθῶν ἀμοιρήσειεν· πῶς ἂν οὖν τις κατὰ τὸ εὔλογον ἔτι τὸν θεὸν αἰτιῷτο τοῦ μὴ πάντων ἐπικρατῆσαι τὸν λόγον; ὁ γὰρ τοῦ παντὸς τὴν ἐξουσίαν ἔχων δι' ὑπερβολὴν τῆς εἰς τὸν ἄνθρωπον τιμῆς ἀφῆκέ τι καὶ ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν εἶναι, οὗ μόνος ἕκαστός ἐστι κύριος. τοῦτο δέ ἐστιν ἡ προαίρεσις, ἀδούλωτόν τι χρῆμα καὶ αὐτεξούσιον, ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον. οὐκοῦν ἐπὶ τοὺς μὴ προσαχθέντας τῇ πίστει δικαιότερον ἂν τὸ τοιοῦτον ἔγκλημα μετατεθείη, οὐκ ἐπὶ τὸν κεκληκότα πρὸς συγκατάθεσιν. οὐδὲ γὰρ ἐπὶ τοῦ Πέτρου κατ' ἀρχὰς τὸν λόγον ἐν πολυανθρώπῳ τῶν Ἰουδαίων ἐκκλησίᾳ κηρύξαντος, τρισχιλίων κατὰ ταὐτὸν παραδεξαμένων τὴν

4 om πρωτην e || om του vulg || 6 om αθροως d || om της διδαχης vulg || 7 om ουν deg*hlnp || 7–8 αιτιωτο τις l om τις deg*hnp vulg || ετι κ. τ. ε. f || το θειον f || αιτιωντο vulg || 15 μεταθειη e || την καταθεσιν l*vid vulg || 18 κατ αυτον d κατ αυτο f

certainty of the conclusion stated in the apodosis.

1. ὁμότιμος] See *antea* cc. 27, 28 (notes).

2. ἀξίας] '*worth*,' '*rank*.'

3. διὰ τοῦτο] a parenthesis. The apodosis begins with πῶς ἂν οὖν τις.

4. ὁμόγλωσσοι] Acts ii 8—11.

6. ἀθρόως] '*all at once*,' as contrasted with the gradual acquirement of a language.

ib. τῆς διδαχ.] The *gen.* is dependent on τῶν ἀγαθῶν.

7. πῶς ἂν οὖν τις] The text is in some confusion, as τις has fallen out of several MSS, while *f* alone preserves οὖν.

9. ὁ γὰρ τ. π.] Another argument is now adduced to account for the want of universality in the spread of the Gospel. God respects man's free-will and leaves him free to accept or refuse grace.

10. τιμῆς] '*by reason of the exceeding honour in which He held man*.'

12. ἀδούλωτόν τι χρ.] Cp. c. 5 τῆς κατὰ τὸ ἀδέσποτον καὶ αὐτεξούσιον χάριτος.

15. συγκατάθεσιν] Cp. c. 5 οὐκ ἔξω τῆς τῶν ἀντιλεγόντων συγκαταθέσεως (note).

16. ἐπὶ τοῦ Π.] Acts ii 41.

17. ἐκκλησίᾳ] used here quite generally of a gathering of people. Cp. Acts xix 32.

πίστιν, πλείους ὄντες τῶν πεπιστευκότων οἱ ἀπειθήσαντες ἐμέμψαντο τὸν ἀπόστολον ἐφ' οἷς οὐκ ἐπείσθησαν. οὐδὲ γὰρ ἦν εἰκός, ἐν κοινῷ προτεθείσης τῆς χάριτος, τὸν ἑκουσίως ἀποφοιτήσαντα μὴ ἑαυτόν, ἀλλ' ἕτερον τῆς δυσκληρίας ἐπαιτιᾶσθαι.

31. Ἀλλ' οὐκ ἀποροῦσιν οὐδὲ πρὸς τὰ τοιαῦτα τῆς ἐριστικῆς ἀντιλογίας. λέγουσι γὰρ δύνασθαι τὸν θεόν, εἴπερ ἐβούλετο, καὶ τοὺς ἀντιτύπως ἔχοντας ἀναγκαστικῶς ἐφελκύσασθαι πρὸς τὴν παραδοχὴν τοῦ κηρύγματος. ποῦ τοίνυν ἐν τούτοις τὸ αὐτεξούσιον; ποῦ δὲ ἡ ἀρετή; ποῦ δὲ τῶν κατορθούντων ὁ ἔπαινος; μόνων γὰρ τῶν ἀψύχων ἢ τῶν ἀλόγων ἐστὶ τῷ ἀλλοτρίῳ βουλήματι πρὸς τὸ δοκοῦν περιάγεσθαι. ἡ δὲ λογική τε καὶ νοερὰ φύσις, ἐὰν τὸ κατ' ἐξουσίαν ἀπόθηται, καὶ τὴν χάριν τοῦ νοεροῦ συναπώλεσεν. εἰς τί γὰρ χρήσεται τῇ διανοίᾳ, τῆς τοῦ προαιρεῖσθαί τι τῶν κατὰ γνώμην ἐξουσίας ἐφ' ἑτέρῳ κειμένης; εἰ δὲ ἄπρακτος ἡ προαίρεσις μείνειεν, ἠφάνισται

3 om ηv d || προταθεισης vulg **31.** 7 εριστικης] αιρετικης f || 8 εβουλετο] sic codd || 10 που δε η αρετη om vulg || 12 η] και f || 17 μενοιεν l μενοι vulg

5. δυσκληρίας] lit. 'ill luck.' The word is opposed to λῆξις.

31. *'But,' it may be urged, 'why did not God compel belief?' This, Gr. replies, would have been to destroy free-will, and with free-will, virtue. Praise or blame in such a case would no longer be applicable to human actions. It is not God's goodness, then, but the disposition of the hearers, which is responsible for the fact that all have not received the faith.*

6–7. τῆς ἐριστ. ἀντ.] Τῆς would be represented in English by the indefinite article, *'a captious reply.'* Ἐριστικῆς denotes that the opponents reply from a mere love of disputing, without having any serious arguments to put forward. See Plato's definition of τὸ ἐριστικόν *Soph.* 225 c sq. There is also a disparaging reference in ἀντιλογίας.

8. ἀναγκαστικῶς] opp. to συμβουλευτικῶς. Cp. Plato *Legg.* 930 B συμβουλευτικὸς ἂν εἴη νόμος... οὐκ ἀναγκαστικός.

11. κατορθούντων] intransitive, *'those who succeed.'* Gr. is thinking, of course, of moral success, a sense of the word which Stoicism had brought into common use.

13. ἡ δὲ λογ.] Cp. *antea* c. 8 ἡ νοερὰ φύσις.

14. ἀπόθηται] *'if it puts aside its freedom, it loses at the same time its privilege of belonging to the intellectual order.'* Cp. Gr.'s treatment of free-will in cc. 5, 7.

15. τῇ διανοίᾳ] See note on τὴν διανοητικὴν δύναμιν c. 6.

κατ' ἀνάγκην ἡ ἀρετή, τῇ ἀκινησίᾳ τῆς προαιρέσεως ἐμπεδηθεῖσα· ἀρετῆς δὲ μὴ οὔσης, ὁ βίος ἠτίμωται, ἀφῄρηται τῶν κατορθούντων ὁ ἔπαινος, ἀκίνδυνος ἡ ἁμαρτία, ἄκριτος ἡ κατὰ τὸν βίον διαφορά. τίς γὰρ ἂν ἔτι κατὰ τὸ εὔλογον ἢ διαβάλλοι τὸν ἀκόλαστον ἢ ἐπαινοίη τὸν σώφρονα; ταύτης κατὰ τὸ πρόχειρον οὔσης ἑκάστῳ τῆς ἀποκρίσεως, τὸ μηδὲν ἐφ' ἡμῖν τῶν κατὰ γνώμην εἶναι, δυναστείᾳ δὲ κρείττονι τὰς ἀνθρωπίνας προαιρέσεις πρὸς τὸ τῷ κρατοῦντι δοκοῦν περιάγεσθαι. οὐκοῦν οὐ τῆς ἀγαθότητος τοῦ θεοῦ τὸ ἔγκλημα, τὸ μὴ πᾶσιν ἐγγενέσθαι τὴν πίστιν, ἀλλὰ τῆς διαθέσεως τῶν δεχομένων τὸ κήρυγμα.

32. Τί πρὸς τούτοις ἔτι παρὰ τῶν ἀντιλεγόντων προφέρεται; τὸ μάλιστα μὲν μηδὲ ὅλως δεῖν εἰς θανάτου

1 εμποδισθεισα vulg ‖ 2 ητιμωται] + και καθ ειμαρμενην χωρει ο λογος l vulg ‖ 3 ακινδυνος] ανικητος vulg ‖ 5 διαβαλοι hp **32.** 13 om το f ‖ μη vulg

2. ὁ βίος] '*life there and then loses its honour.*' The perfects ἠφάνισται, ἠτίμωται, ἀφῄρηται imply that the result follows immediately. For this use of βίος cp. *antea* cc. 8, 30 (notes). After ἠτίμωται *l* and the Paris edd. have the gloss καὶ καθ' εἱμαρμένην χωρεῖ ὁ λόγος, 'reason moves in accordance with fate.'

3. ἀκίνδυνος] '*sin may be indulged in with impunity.*'

ib. ἄκριτος] '*and all difference with regard to the manner of life becomes no longer discernible,*' i.e. the distinctions between a good and a bad life no longer exist.

10. ἔγκλημα] It is not God's goodness, but the disposition of the hearers, which is responsible for the fact that all have not received the Gospel.

32. *Another ground of objection is the death of Christ, or, if not the death, at least the shame attending it. But without such death our Lord's assumption of human nature would have been incomplete. The death again was necessary in order that man might be delivered from death. By dying Christ stretched out His hand to fallen man to raise him up to life. The union which Christ has effected with mankind enables us to share in His resurrection. The death upon the Cross has a mystic meaning, and reveals His Divine nature no less than His humanity. The projecting arms of the Cross witness openly to our eyes the fact that Christ binds all Creation to Himself, and brings all things into harmony. His Death was followed by His Resurrection and Ascension, which bore unmistakeable testimony to His Divine power.*

13. τὸ μάλιστα μέν] The corresponding clause is introduced by εἰ δὲ καί below. The objection is first stated in a more sweeping form. Gr.'s opponent protests against the introduction of death in any form into the plan of redemption. The clause τὸ...μηδὲ...δεῖν answers to τί, and is paralleled below by τὸ μὴ... καθυβρισθῆναι.

πεῖραν ἐλθεῖν τὴν ὑπερέχουσαν φύσιν, ἀλλὰ καὶ δίχα τούτου τῇ περιουσίᾳ τῆς δυνάμεως δύνασθαι ἂν μετὰ ῥᾳστώνης τὸ δοκοῦν κατεργάσασθαι. εἰ δὲ καὶ πάντως ἔδει τοῦτο γενέσθαι κατά τινα λόγον ἀπόρρητον, ἀλλ' οὖν τὸ μὴ τῷ ἀτίμῳ τρόπῳ τοῦ θανάτου καθυβρισθῆναι. τίς γὰρ ἂν γένοιτο, φησί, τοῦ διὰ σταυροῦ θάνατος ἀτιμότερος; τί οὖν καὶ πρὸς ταῦτά φαμεν; ὅτι τὸν θάνατον μὲν ἀναγκαῖον ἡ γένεσις ἀπεργάζεται. τὸν γὰρ ἅπαξ μετασχεῖν ἐγνωκότα τῆς ἀνθρωπότητος διὰ πάντων ἔδει γενέσθαι τῶν ἰδιωμάτων τῆς φύσεως. εἰ τοίνυν δύο πέρασι τῆς ἀνθρωπίνης ζωῆς διειλημμένης ἐν τῷ ἑνὶ γενόμενος τοῦ ἐφεξῆς μὴ προσήψατο, ἡμιτελὴς ἂν ἡ πρόθεσις ἔμεινε τοῦ ἑτέρου τῶν τῆς φύσεως ἡμῶν ἰδιωμάτων οὐχ ἁψαμένου. τάχα δ' ἄν τις δι' ἀκριβείας καταμαθὼν τὸ μυστήριον εὐλογώτερον εἴποι μὴ διὰ τὴν γένεσιν συμβεβηκέναι τὸν θάνατον, ἀλλὰ τὸ ἔμπαλιν τοῦ θανάτου χάριν παραληφθῆναι τὴν

4 om γενεσθαι 1* vulg || 5 τω μη ατιμω e μη τω ατιμω vulg || 6 om γαρ e || 8 κατεργαζεται l vulg || 12 εμενε dg*hnp γεγονε e || 13 om των l vulg || ιδιωματος l vulg || 14 μαθων f

2. μετὰ ῥᾳστώνης] 'with ease,' i.e. without submission to suffering.

3. εἰ δὲ καί] A modified form of the preceding objection. If for some inscrutable reason (κατά τινα λόγον ἀπόρρητον) it was necessary that Christ should die, the shameful manner of His death might in any case have been avoided.

7. τὸν θάνατον μέν] Gr. gives two answers to the objection against the introduction of death into the Divine plan. The first is introduced by μέν in the present clause. The second follows in the clause beginning τάχα δ' ἄν τις. The complete assumption of human nature rendered the death necessary. A still stronger necessity for it was to be found in man's need of deliverance from death. The particular manner of the death, i.e. Crucifixion, he justifies below in the passage beginning ὁ δὲ σταυρός. With Gregory's treatment of the whole question cp. Ath. *de Inc.* cc. 21—25.

10. ἰδιωμάτων] Cp. c. 26 p. 101 (note) and c. 27 *init.*

ib. δύο πέρασι] Cp. c. 27.

11. τῷ ἑνί] i.e. birth. Τοῦ ἐφ. i.e. death.

12. ἡμιτελής] '*but half complete.*' With ἁψαμένου we must supply αὐτοῦ.

13. τάχα δ' ἄν τις] A still stronger argument (εὐλογώτερον). The death was necessary to deliver man from death.

14. δι' ἀκριβείας] A more exact knowledge of the revelation shews a deeper significance in the Death of Christ. Τὸ μυστήριον is here used in a general sense for the Christian revelation.

γένεσιν· οὐ γὰρ τοῦ ζῆσαι δεόμενος ὁ ἀεὶ ὢν τὴν σωματικὴν ὑποδύεται γένεσιν, ἀλλ' ἡμᾶς ἐπὶ τὴν ζωὴν ἐκ τοῦ θανάτου ἀνακαλούμενος. ἐπεὶ οὖν ὅλης ἔδει γενέσθαι τῆς φύσεως ἡμῶν τὴν ἐκ τοῦ θανάτου πάλιν ἐπάνοδον, οἱονεὶ χεῖρα τῷ κειμένῳ ὀρέγων διὰ τοῦτο πρὸς τὸ ἡμέτερον ἐπικύψας πτῶμα, τοσοῦτον τῷ θανάτῳ προσήγγισεν, ὅσον τῆς νεκρότητος ἅψασθαι καὶ ἀρχὴν δοῦναι τῇ φύσει τῆς ἀναστάσεως τῷ ἰδίῳ σώματι, ὅλον τῇ δυνάμει συναναστήσας τὸν ἄνθρωπον. ἐπειδὴ γὰρ οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος ὁ θεοδόχος ἄνθρωπος ἦν, ὁ διὰ

1 ων] ζων fl vulg || 2 γεννησιν fl vulg || 3 ολως fl[1] || εδει γενεσθαι ολης l[*vid] vulg || 4 om την vulg || 5 ορεγων] + και el[*vid] vulg || 7 απτεσθαι dghnp τη νεκροτητι προσαψασθαι e || την φυσιν f vulg || 8–9 συναν. τ. αν. τ. δυναμει l vulg || 9 αλλαχοθεν f || 10 ο...ανθρωπος] η...σαρξ l[*vid] vulg Thdrt[sirm] || η...συνεπαρθεισα l[*vid] vulg Thdrt[sirm]

1. ζῆσαι] The force of the aorist is 'to enter into life.' Cp. Ign. *Rom.* 6 μὴ ἐμποδίσητέ μοι ζῆσαι.

ib. ὁ ἀεὶ ὤν] Cp. c. 25 τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα. The MSS, however, are divided in the present passage between ζῶν and ὤν. The reading ζῶν may be due to the tendency of the group *fl* to paraphrase the text. Fronto Ducaeus thinks that the phrase ὁ ἀεὶ ζῶν may contain a reference to Heb. vii 25, but this is very improbable. Krab., following the Latin Version of the Parisedd., renders 'aeternus,' though he retains ζῶν in his text. For the phrase ὁ ἀεὶ ὤν cp. Ex. iii 14, Ps. lxxxix (xc) 2, Rev. i. 8.

6. πτῶμα] Krab. rightly translates 'cadaver,' following Hervetus. Fronto Ducaeus, however, suggests 'lapsum,' in view of κύπτει πρὸς τὸν πεπτωκότα below.

7. νεκρότητος] Cp. c. 8 *init.* τὸ τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι and *ibid.* ἡ νεκρότης...περιετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει. '*Our state of death.*'

ib. ἅψασθαι] Cp. c. 15 θεὸν ἀνθρωπίνης ἅψασθαι φύσεως (note). The inf. is consecutive after τοσοῦτον.

8–9. ὅλον...τὸν ἄνθ.] 'the whole man,' i.e. body as well as soul.

9. ἐπειδὴ γάρ] The passage which follows as far as ἀνορθῶσαι τὸν κείμενον is reproduced in Theodoret *Dial.* iii (Impatibilis), p. 300 (Migne).

10. φυράματος] The use of this word, which lit. means 'a lump of clay' or 'dough,' is derived from such passages as Rom. ix 21, xi 16, 1 Cor. v 7. Cp. Numb. xv 19, 20. It is used by patristic writers to denote 'the human body,' 'human nature,' 'the lump of humanity.' Cp. Gen. ii 7.

ib. ὁ θεοδόχος ἄνθρωπος] This inexact language might seem to indicate that the humanity of Christ was itself a personal subject. In later times, when Nestorianism had arisen, such language would have been avoided. The expression has been altered in the text of *l* and the Paris edd. into ἡ θεοδόχος σάρξ. For simi-

τῆς ἀναστάσεως συνεπαρθεὶς τῇ θεότητι, ὥσπερ ἐπὶ τοῦ καθ' ἡμᾶς σώματος ἡ τοῦ ἑνὸς τῶν αἰσθητηρίων ἐνέργεια πρὸς ἅπαν τὴν συναίσθησιν ἄγει τὸ ἡνωμένον τῷ μέρει, οὕτως, καθάπερ ἑνός τινος ὄντος ζῴου πάσης τῆς φύσεως, ἡ τοῦ μέρους ἀνάστασις ἐπὶ τὸ πᾶν διεξέρχεται, κατὰ τὸ συνεχές τε καὶ ἡνωμένον τῆς φύσεως ἐκ τοῦ μέρους ἐπὶ τὸ ὅλον συνεκδιδομένη. τί οὖν ἔξω τοῦ εἰκότος ἐν τῷ μυστηρίῳ μανθάνομεν, εἰ κύπτει πρὸς τὸν πεπτωκότα ὁ ἑστὼς ἐπὶ τὸ ἀνορθῶσαι τὸν κείμενον; ὁ δὲ σταυρὸς εἰ μέν τινα καὶ ἕτερον περιέχει λόγον βαθύτερον, εἰδεῖεν ἂν οἱ τῶν κρυπτῶν ἐπίστορες. ὃ δ' οὖν εἰς ἡμᾶς ἐκ

3 απαν] πασαν deghnp Thdrt^{rom} || αισθησιν f || το] τον Thdrt || 4 τινος ενος l om ενος vulg || 5 του] εκ του Thdrt^{rom}: desunt folia nonnulla in g || om κατα Thdrt^{rom} || 7 συνδιδομενης f συνδιδομενη l vulg συνδιδομενον Thdrt || 7–8 εκ του μυστηριου d μυστηριου Thdrt^{rom} || 9 επι το] επι τω ef || ανορθ.] αναστησαι l vulg || 10 ει μεν] ημιν l ει μη vulg || ειδοιεν f vulg || 11 κρυπτομενων l vulg || επιστορες l^{*vid} vulg

lar language see Greg. Naz. *Or.* xxix 19, xxx 2, with Dr Mason's notes.

1. ὥσπερ ἐπὶ τ.] '*just as the action of one of the organs of sense communicates a common sensation to the whole which is united with the particular member.*' The MSS are divided between ἅπαν and πᾶσαν. The latter reading is found in the Roman edition of Theodoret. But the alteration of ἅπαν into πᾶσαν before συναίσθησιν is a natural one for scribes to make. For the idea cp. 1 Cor. xii 26, 27.

4. καθάπερ ἑνός τινος] '*as though the whole of human nature were one living being.*' Τῆς φύσεως here refers specially to human nature, but the whole idea is based on the Platonic view of the Universe as ζῷον ἔμψυχον. See Plato *Tim.* 30, and esp. 69 C πᾶν τόδε ξυνεστήσατο, ζῷον ἔν ζῷα ἔχον ἅπαντα ἐν αὑτῷ θνητὰ ἀθάνατά τε. Similarly Synes. *Calv. Enc.* p. 71 D ἔδει γάρ, οἶμαι, εἶναι τὸν κόσμον ζῷον ἐκ ζῴων συγκείμενον. For Plotinus' view see Ritter and Preller *Hist. of A. Philosophy*, vol. iv p. 581 ff., and, for the Stoic conception of συμπάθεια with regard to the Universe, Zeller *Stoics, Epicureans and Sceptics* pp. 183 ff.

5. τοῦ μέρους] 'the particular member' i.e. Christ, whose Resurrection, by virtue of the συμπάθεια of humanity, becomes a principle of life for the race.

7. συνεκδιδομένη] '*being imparted from the member to the whole, by reason of the continuity and unity of the race.*'

9. ὁ δὲ σταυρός] Gr. now passes on to give a second reason for the manner of the death of Christ.

10. εἰ μέν τινα καὶ ἕτερον] Gr. does not profess to exhaust the mystical teaching of the Cross in what he is about to say. It may have some other deeper meaning, for those who are 'versed in mystical

παραδόσεως ἥκει, τοιοῦτόν ἐστιν. ἐπειδὴ πάντα κατὰ τὸν ὑψηλότερόν τε καὶ θειότερον λόγον ἐν τῷ εὐαγγελίῳ καὶ εἴρηται καὶ γεγένηται, καὶ οὐκ ἔστιν ὅ τι μὴ τοιοῦτόν ἐστιν, ὃ οὐχὶ πάντως μίξις τις ἐμφαίνεται τοῦ θείου πρὸς τὸ ἀνθρώπινον, τῆς μὲν φωνῆς ἢ τῆς πράξεως ἀνθρωπικῶς διεξαγομένης, τοῦ δὲ κατὰ τὸ κρυπτὸν νοουμένου τὸ θεῖον ἐμφαίνοντος, ἀκόλουθον ἂν εἴη καὶ ἐν τῷ μέρει τούτῳ μὴ τὸ μὲν βλέπειν, παρορᾶν δὲ τὸ ἕτερον, ἀλλ' ἐν μὲν τῷ θανάτῳ καθορᾶν τὸ ἀνθρώπινον, ἐν δὲ τῷ τρόπῳ πολυπραγμονεῖν τὸ θειότερον. ἐπειδὴ γὰρ ἴδιόν ἐστι τῆς θεότητος τὸ διὰ πάντων ἥκειν καὶ τῇ φύσει τῶν ὄντων κατὰ πᾶν μέρος συμπαρεκτείνεσθαι· οὐ γὰρ ἄν τι διαμένοι

2 λογον] βιον l^{*vid} vulg ‖ εν τω ευαγγ.] om f ‖ 3 εστι τι l^{1} p ‖ ο μη p ουδεν τοιουτον εστιν vulg ‖ 4 ο] ω defhl^{1}np εν ω vulg ‖ φαινεται e ‖ 8 δε] δια l^{*} ‖ 9 θανατω] αθανατω Thdrt^{tirm} ‖ τροπω] ανθρωπω vulg Thdrt^{tirm} σκοπω Thdrt^{rom}

teaching.' Κρυπτῶν i.e. the hidden sense of Scripture. He is referring to the allegorical method of interpretation, which was so marked a feature of the school of Origen. Gr. claims that his own exposition in the following passage is ἐκ παραδόσεως, i.e. an interpretation which had become traditional among the churches. See notes below. Ἐπίστωρ — a poetical word, 'conversant with,' 'practised in.'

1. κατὰ τ. ὑψ.] Gr. here expounds the principle on which the allegorical interpretation rests. All words and events (καὶ εἴρηται καὶ γεγένηται) in the Gospel have 'a higher and more divine meaning' than that which lies upon the surface. There is a mixture of the 'human' and 'divine element' in Scripture. Cp. Origen *in Lev. Hom.* v, and see Bigg *Christian Platonists* pp. 136 foll.

6. διεξαγομένης] Cp. διεξάγεται c. 28 (note).

ib. τοῦ δὲ κ. τ. κρυπτόν] '*while the mystical sense manifests the divine element.*'

7. ἀκόλουθον κ.τ.λ.] These words as far as πολυπραγμονεῖν τὸ θειότερον are quoted by Theodoret *Dial.* iii (Impatibilis) p. 300 (Migne) with reference to the two natures in Christ. There are however considerable variations in the text of the passage as it appears in the edd. of Theodoret, Sirmond reading ἀθανάτῳ for θανάτῳ, and ἀνθρώπῳ for τρόπῳ.

ib. ἐν τῷ μέρει τούτῳ] 'in this part also,' i.e. in regard to the death of Christ, no less than the other events of His life.

10. πολυπραγμονεῖν] Cp. c. 10 πολυπραγμοσύνης (note).

ib. ἐπειδή] The apodosis begins with τοῦτο διὰ τοῦ σταυροῦ.

12. συμπαρεκτείνεσθαι] '*extend throughout the nature of existing things in every part.*' Διαμονή, '*duration*,' '*continuance.*'

ἐν τῷ εἶναι, μὴ ἐν τῷ ὄντι μένον· τὸ δὲ κυρίως καὶ πρώτως ὂν ἡ θεία φύσις ἐστίν, ἣν ἐξ ἀνάγκης πιστεύειν ἐν πᾶσιν εἶναι τοῖς οὖσιν ἡ διαμονὴ τῶν ὄντων καταναγκάζει· τοῦτο διὰ τοῦ σταυροῦ διδασκόμεθα, τετραχῇ τοῦ κατ' αὐτὸν σχήματος διῃρημένου, ὡς ἐκ τοῦ μέσου, καθ' ὃ πρὸς ἑαυτὸν συνάπτεται, τέσσαρας ἀριθμεῖσθαι τὰς προβολάς, ὅτι ὁ ἐπὶ τούτου ἐν τῷ καιρῷ τῆς κατὰ τὸν θάνατον οἰκονομίας διαταθεὶς ὁ τὸ πᾶν πρὸς ἑαυτὸν συνδέων τε καὶ συναρμόζων ἐστί, τὰς διαφόρους τῶν ὄντων φύσεις πρὸς μίαν σύμπνοιάν τε καὶ ἁρμονίαν δι' ἑαυτοῦ συνάγων. ἐν γὰρ τοῖς οὖσιν ἢ ἄνω τι νοεῖται, ἢ κάτω, ἢ πρὸς τὰ κατὰ τὸ πλάγιον πέρατα διαβαίνει ἡ ἔννοια. ἂν τοίνυν λογίσῃ

6 προσβολας h || 7 τουτω f || om τω d || 8 εαυτω l*vid vulg || συνδεων] συνδεσμων df || 9 om εστι vulg || 12 τα πλαγια e vulg προς τα πλαγια περατα l*vid

3. τοῦτο διὰ τοῦ σταυροῦ] Similarly Ath. *de Inc.* c. 25 says that Christ spread out His hands upon the Cross to draw to Him, and unite in one, both Jew and Gentile. Cp. Lactantius *Divin. Instit.* iv 26 (Migne, p. 507) Extendit ergo in passione manus suas orbemque dimensus est ut iam tunc ostenderet ab ortu solis usque ad occasum magnum populum ex omnibus linguis et tribubus congregatum sub alas suas venturum. Gr. presents the same thought in a fine passage *in Christi Resurr. Or.* i pp. 621 ff. (Migne). Cp. also *contra Eunom.* v p. 696 (Migne).

4. τετραχῇ] '*seeing that its figure is divided into four parts.*'

5. ὡς ἐκ τοῦ μέσου] '*so that from the centre, where the whole converges, the projections are four in number.*' Προβολάς refers of course to the four divisions of the Cross diverging from the centre.

6. ὅτι] resumes the τοῦτο.

7. τῷ καιρῷ] i.e. the hour when he carried out the plan of redemption by the death on the Cross.

ib. τῆς κ. τ. θάνατον οἰκ.] Cp. *c. Eunom.* v p. 708 (Migne), where the same phrase occurs. Similarly Gr. speaks of ἡ κατὰ τὸ πάθος οἰκ. and ἡ κατὰ τὸν σταυρὸν οἰκ. '*The dispensation of His death.*' Οἰκονομία is here used of the 'plan' of redemption. See c. 5 τὴν κατ' ἄνθρωπον οἰκονομίαν (note).

11. τὰ κατὰ τὸ π. πέρατα] '*the boundaries on either side.*'

12. διαβαίνει ἡ ἔννοια] '*thought passes over to.*' For the idea cp. *in Chr. Resurr. Or.* i l.c. Ἀνάβλεψον γὰρ εἰς τὸν οὐρανόν, καὶ τὰ κάτω βάθη τῷ λογισμῷ κατανόησον, ἔκτεινον ἐπὶ τὰ πλάγια καὶ τὰ ἄκρα τῆς τοῦ παντὸς συστάσεως τὴν διάνοιαν, καὶ λόγισαι τίς ἐστιν ἡ ταῦτα συνέχουσα δύναμις, οἷόν τις σύνδεσμος τοῦ παντὸς γινομένη. καὶ ὄψει ὡς αὐτομάτως ἐν τῇ διανοίᾳ ἡ περὶ τῆς θείας δυνάμεως ἔννοια τὸ σχῆμα τοῦ σταυροῦ ἐγχαράσσεται. For the attempt to find the symbolism of the Cross in nature see Methodius *adv. Porphyrium* c. 1 (ed. Bonw. p. 346).

τῶν ἐπουρανίων ἢ τῶν ὑποχθονίων ἢ τῶν καθ' ἑκάτερον τοῦ παντὸς περάτων τὴν σύστασιν, πανταχοῦ τῷ λογισμῷ σου προαπαντᾷ ἡ θεότης, μόνη κατὰ πᾶν μέρος τοῖς οὖσιν ἐνθεωρουμένη καὶ ἐν τῷ εἶναι τὰ πάντα συνέχουσα. εἴτε δὴ θεότητα τὴν φύσιν ταύτην ὀνομάζεσθαι χρὴ εἴτε λόγον εἴτε δύναμιν εἴτε σοφίαν εἴτε ἄλλο τι τῶν ὑψηλῶν τε καὶ μᾶλλον ἐνδείξασθαι δυναμένων τὸ ὑπερκείμενον, οὐδὲν ὁ λόγος ἡμῶν περὶ φωνῆς ἢ ὀνόματος ἢ τύπου ῥημάτων διαφέρεται. ἐπεὶ οὖν πᾶσα πρὸς αὐτὸν ἡ κτίσις βλέπει, καὶ περὶ αὐτόν ἐστι, καὶ δι' ἐκείνου πρὸς ἑαυτὴν συμφυὴς γίνεται, τῶν ἄνω τοῖς κάτω καὶ τῶν πλαγίων πρὸς ἄλληλα δι' ἐκείνου συμφυομένων, ἔδει μὴ μόνον δι' ἀκοῆς ἡμᾶς πρὸς τὴν τῆς θεότητος κατανόησιν χειραγωγεῖσθαι, ἀλλὰ καὶ τὴν ὄψιν γενέσθαι τῶν ὑψηλοτέρων νοημάτων διδάσκαλον, ὅθεν καὶ ὁ μέγας ὁρμηθεὶς Παῦλος μυσταγωγεῖ τὸν ἐν Εφέσῳ λαόν, δύναμιν αὐτοῖς ἐντιθεὶς διὰ τῆς διδασκαλίας πρὸς τὸ γνῶναι τί ἐστι τὸ βάθος καὶ τὸ ὕψος, τό τε πλάτος καὶ τὸ μῆκος. ἑκάστην γὰρ τοῦ σταυροῦ προβολὴν ἰδίῳ

4 θεωρουμενη f || 5 δη] δε dehnp || 6 om τι e || 7 τον υπερκ. el*vid vulg || 9 προς αυτον πασα l vulg || 17 το υψος] om το dhnp || 18 το μηκος] om το f || προσβολην f συμπροβολην l*vid vulg

3. προαπαντᾷ] '*everywhere your thought is preceded and met by the presence of Deity.*' Cp. Ps. cxxxviii [cxxxix] 8—10.

7. τὸ ὑπερκ.] Cp. *prol.* εἶναί τινα δύναμιν τὴν...τοῦ παντὸς ὑπερκειμένην.

8. φωνῆς κ.τ.λ.] '*expression or title or form of phrase.*'

10. περὶ αὐτόν] '*about Him,*' i.e. by reason of the Divine immanence.

ib. συμφυὴς] lit. 'grown together with.' '*And through Him acquires union throughout, the parts above being, through Him, connected with those below, and the opposite sides with one another.*'

13. ἀλλὰ καὶ τὴν ὄψιν] The Cross teaches 'sublime thoughts' by the spectacle which it offers to the eyes.

15. ὅθεν] St Paul 'starts from' the spectacle of the Cross with its four projections. Eph. iii 18. Gr. has the same application in *in Chr. Resurr. Or.* i p. 624 (Migne). Cp. Iren. v 17. 4; Rufinus *Comm. in Symb. Apost.* § 14; Aug. *de Doctr. Chr.* ii 41 (62).

ib. μυσταγωγεῖ] '*initiates.*' Cp. Ign. *Eph.* 12 Παύλου συμμύσται τοῦ ἡγιασμένου. For the Christian application of terms which were used of the heathen mysteries see Phil. iv 12, 1 Cor. ii 7 &c. Cp. also Wisd. viii 4. See further note on μυηθεῖσι c. 33.

ῥήματι κατονομάζει, ὕψος μὲν τὸ ὑπερέχον, βάθος δὲ τὸ ὑποκείμενον, πλάτος τε καὶ μῆκος τὰς πλαγίας ἐκτάσεις λέγων. καὶ σαφέστερον ἐτέρωθι τὸ τοιοῦτον νόημα πρὸς Φιλιππησίους, οἶμαι, ποιεῖ οἷς φησὶν ὅτι Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. ἐνταῦθα τὴν μέσην κεραίαν μιᾷ προσηγορίᾳ διαλαμβάνει, πᾶν τὸ διὰ μέσου τῶν ἐπουρανίων καὶ ὑποχθονίων ὀνομάσας ἐπίγειον. τοῦτο μεμαθήκαμεν περὶ τοῦ σταυροῦ τὸ μυστήριον. τὰ δὲ ἀπὸ τούτου τοιαῦτα κατὰ τὸ ἀκόλουθον περιέχει ὁ λόγος, ὡς ὁμολογεῖσθαι καὶ παρὰ τῶν ἀπίστων μηδὲν ἀλλότριον εἶναι τῆς θεοπρεποῦς ὑπολήψεως. τὸ γὰρ μὴ ἐμμεῖναι τῷ θανάτῳ, καὶ τὰς διὰ τοῦ σιδήρου κατὰ τοῦ σώματος γενομένας πληγὰς μηδὲν ἐμπόδιον πρὸς τὸ εἶναι ποιήσασθαι, κατ' ἐξουσίαν τε φαίνεσθαι μετὰ τὴν ἀνάστασιν τοῖς μαθηταῖς, ὅτε βούλοιτο παρεῖναί τε αὐτοῖς μὴ ὁρώμενον καὶ ἐν μέσῳ

6 κεραιαν] καιρεαν l^{*vid} και γαιαν vulg || 7 καταλαμβανει l^{*vid} vulg λαμβανει h || 14 ειναι] αναστηναι l vulg || 15 τοις μαθ. μ. τ. α. l vulg

2. τὰς πλαγίας ἐκτάσεις] '*the extensions on each side*,' i.e. the two horizontal arms of the Cross.

3. ἐτέρωθι] Phil. ii 10.

6. τὴν μέσην κεραίαν] '*the central cross-beam*.' Κεραία is used of the 'yard-arm' of a ship. Here it refers to the transverse beam which divides the upright beam of the Cross; hence it is called ἡ μέση κεραία. Cp. πᾶν τὸ διὰ μέσου τῶν ἐπουρανίων καὶ ὑποχθονίων below. Gr. uses language closely resembling this in the passage already cited from *c. Eunom.* v p. 696 (Migne) where he says τὴν δὲ ἐγκάρσιον καθ' ἑκάτερον κεραίαν τῷ τοῦ μήκους τε καὶ πλάτους ὀνόματι διασημαίνων.

ib. μιᾷ προσηγορίᾳ] refers to ἐπιγείων, which includes acc. to Gr. both πλάτος and μῆκος.

9. τὰ δὲ ἀπὸ τούτου] The words τοιαῦτα κατὰ τὸ ἀκόλουθον form a kind of secondary predicate. '*The events which follow, as contained in the account, are so consistent in character, that even unbelievers &c.*' Κατὰ τὸ ἀκ. i.e. consistent with the character of a Divine Being.

10. ὡς] depends upon τοιαῦτα.

11. θεοπρεποῦς ὑπολ.] Cp. c. 10 τὴν θεοπρεπῆ διάνοιαν and c. 24 δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι.

13. σιδήρου] Jn xix 34 [Mt. xxvii 49].

14. πρὸς τὸ εἶναι] '*offered no impediment to his existence*.' Gr. is thinking of the Resurrection life. The best MSS read εἶναι, while *l* and the Paris edd. have ἀναστῆναι, which is obviously a conjectural emendation.

16. μὴ ὁρώμενον] prob. a reference to Lk. xxiv 36, where the phrase ἐν μέσῳ αὐτῶν is also found.

γίγνεσθαι, μηδὲν τῆς εἰσόδου τῆς διὰ τῶν θυρῶν προσδεόμενον, ἐνισχύειν τε τοὺς μαθητὰς τῇ προσφυσήσει τοῦ πνεύματος, ἐπαγγέλλεσθαί τε καὶ τὸ μετ' αὐτῶν εἶναι, καὶ μηδενὶ μέσῳ διατειχίζεσθαι, καὶ τῷ μὲν φαινομένῳ πρὸς τὸν οὐρανὸν ἀνιέναι, τῷ δὲ νοουμένῳ πανταχοῦ εἶναι, καὶ ὅσα τοιαῦτα περιέχει ἡ ἱστορία, οὐδὲν τῆς ἐκ τῶν λογισμῶν συμμαχίας προσδέεται πρὸς τὸ θεῖά τε εἶναι καὶ τῆς ὑψηλῆς καὶ ὑπερεχούσης δυνάμεως. περὶ ὧν οὐδὲν οἶμαι δεῖν καθ' ἕκαστον διεξιέναι, αὐτόθεν τοῦ λόγου τὸ ὑπὲρ τὴν φύσιν ἐμφαίνοντος. ἀλλ' ἐπειδὴ μέρος τι τῶν μυστικῶν διδαγμάτων καὶ ἡ κατὰ τὸ λουτρόν ἐστιν οἰκονομία, ὃ εἴτε βάπτισμα εἴτε φώτισμα εἴτε παλιγγενεσίαν βούλοιτό τις ὀνομάζειν, οὐδὲν πρὸς τὴν ὀνομασίαν διαφερόμεθα, καλῶς ἂν ἔχοι καὶ περὶ τούτου βραχέα διεξελθεῖν.

1 μηδεν] μηδε fl vulg || 6 λογισμων] λογων d || 8 om δειν e || 10 εκφαινοντος l vulg || αλλ] exstant sqq in euth 457 || 11 κατα] περι l vulg || 12 ειτε φωτισμα om e*

1. εἰσόδου] Jn xx 19.

2. προσφυσήσει] Jn xx 22.

3. τὸ μετ' αὐτῶν εἶναι] Mt. xxviii 20. The present inf. εἶναι reproduces the εἰμί of the Evangelist.

4. μηδενὶ μέσῳ] Cp. c. 6 πολλῷ τῷ μέσῳ (note).

4–5. τῷ μὲν φαινομένῳ...τῷ δὲ νοουμένῳ] '*to the eye...to the mind.*'

5. ἀνιέναι] Acts i 9.

10. ἀλλ' ἐπειδή] Here Gr. passes on to the subject of the next section of his treatise, in which he deals with baptism. The whole of the following passage, as far as τὸ ἐπηγγελμένον οὐκ ἀμφιβάλλοντες in c. 34, is quoted in Euth. Zig. *Pan. Dogm.* tit. xxv pp. 1252 ff. (Migne).

ib. μυστικῶν δ.] '*a part of the doctrines of revelation.*' Μυστικός refers to the earlier sense of μυστήριον, 'a revealed truth of the Christian religion.' Cp. c. 9 τὸ μυστήριον τῆς ἀληθείας. There is no reference here to the other sense of μυστήριον='a sacramental rite,' as sacraments have not yet been mentioned, and the καί before ἡ κατὰ τὸ λουτρόν κ.τ.λ. definitely connects what Gr. says with what precedes, i.e. the μυστήρια of the Incarnation and the Cross.

11. ἡ κατὰ τὸ λ....οἰκ.] '*the dispensation of the washing.*' Cp. Eph. v 26, Tit. iii 5, the latter of which passages supplies also the word παλιγγενεσία.

12. φώτισμα] Cp. Heb. vi 4, x 32. Cp. Justin *Ap.* i 61 καλεῖται δὲ τοῦτο τὸ λουτρὸν φωτισμός, ὡς φωτιζομένων τὴν διάνοιαν τῶν ταῦτα μανθανόντων. Similarly Gr. says, *in Bapt. Christi* p. 592 (Migne) ὅπου ὕδωρ τὸ μυστικόν, ἐκεῖ καὶ πνεῦμα τὸ ζωπυροῦν, τὸ θερμόν, τὸ πυροειδές, τὸ τοὺς ἀσεβεῖς καῖον καὶ τοὺς πιστοὺς φωτίζον. For alternative titles of Baptism see Clem. Al. *Paed.* i 6 (p. 113, Potter), Greg. Naz. *Or.* xl p. 698.

33. Ἐπειδὰν γὰρ παρ' ἡμῶν τὸ τοιοῦτον ἀκούσωσιν, ὅτι, τοῦ θνητοῦ πρὸς τὴν ζωὴν μεταβαίνοντος, ἀκόλουθον ἦν τῆς πρώτης γενέσεως ἐπὶ τὸν θνητὸν παραγούσης βίον ἑτέραν γένεσιν ἐξευρεθῆναι, μήτε ἀπὸ φθορᾶς ἀρχομένην, μήτε εἰς φθορὰν καταλήγουσαν, ἀλλ' εἰς ἀθάνατον ζωὴν τὸν γεγεννημένον παράγουσαν, ἵν', ὥσπερ ἐκ θνητῆς γενέσεως θνητὸν ἐξ ἀνάγκης τὸ γεγεννημένον ὑπέστη, οὕτως ἐκ τῆς μὴ παραδεχομένης φθορὰν τὸ γεννώμενον κρεῖττον γένηται τῆς ἐκ τοῦ θανάτου φθορᾶς· ἐπειδὰν οὖν τούτων καὶ τῶν τοιούτων ἀκούσωσιν καὶ προδιδαχθῶσι τὸν τρόπον, ὅτι εὐχὴ πρὸς θεὸν καὶ χάριτος οὐρανίας ἐπίκλησις καὶ

33. 4 γεννησιν euth 7 vulg ‖ 6 γεγενημενον dehp το γ. l ‖ ιν ωσπερ] ωσπερ γαρ l vulg ‖ γεννησεως l vulg ‖ 7 γεγενημ. hnp ‖ 8 φθοραν] + γεννησεως fl vulg ‖ 9 γενηται] γεγεννηται d ‖ om ουν l vulg ‖ 10 προσδιδαχθωσι euth 45

CHAPS. XXXIII—XL. THE SACRAMENTS.

i. Chaps. XXXIII—XXXVI. On Baptism.

33. *Just as the natural birth is our introduction to this mortal life, so the new birth of baptism is our introduction to eternal life. The means by which this regeneration is effected is prayer to God, the invocation of Divine grace, water, and faith. If it be asked how these effect the beginning of a new life, it may be sufficient to reply that we do not understand how the natural process of generation effects the production of a human being. In either case the answer is the same. The result is due to the presence and working of the Divine Power, using natural means to effect some higher end.*

For Gr.'s treatment of Baptism see further his treatise *in Baptismum Christi*, esp. pp. 581, 584, 585 (Migne).

1. τὸ τοιοῦτον] explained by ὅτι. The protasis is resumed by ἐπειδὰν οὖν τούτων, and the apodosis begins at δυσπειθῶς ἔχουσι.

2. πρὸς τὴν ζωήν] i.e. to eternal life.

11. εὐχὴ π. θ.] Cp. Justin *Ap.* i 61 εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς.

ib. χάριτος οὐρ. ἐπίκλησις] Cp. *in Bapt. Christi* p. 584 (Migne) τὸ ὕδωρ οὐδὲν ἄλλο τυγχάνον ἢ ὕδωρ, ἀνακαινίζει τὸν ἄνθρωπον εἰς τὴν νοητὴν ἀναγέννησιν, τῆς ἄνωθεν χάριτος εὐλογούσης αὐτό: *de Baptismo* p. 421 (Migne) πᾶν ὕδωρ ἐπιτήδειον εἰς τὴν τοῦ βαπτίσματος χρείαν, μόνον ἐὰν εὕρῃ πίστιν τοῦ λαμβάνοντος, καὶ εὐλογίαν τοῦ ἁγιάζοντος ἱερέως.

ὕδωρ καὶ πίστις ἐστὶ δι' ὧν τὸ τῆς ἀναγεννήσεως πληροῦται μυστήριον, δυσπειθῶς ἔχουσι πρὸς τὸ φαινόμενον βλέποντες, ὡς οὐ συμβαῖνον τῇ ἐπαγγελίᾳ τὸ σωματικῶς ἐνεργούμενον. πῶς γάρ, φασίν, εὐχὴ καὶ δυνάμεως θείας ἐπίκλησις ἐπὶ τοῦ ὕδατος γινομένη ζωῆς ἀρχηγὸς τοῖς μυηθεῖσι γίνεται; πρὸς οὕς, εἴπερ μὴ λίαν ἔχοιεν ἀντιτύπως, ἁπλοῦς ἐξαρκεῖ λόγος πρὸς τὴν τοῦ δόγματος ἀγαγεῖν συγκατάθεσιν. ἀντερωτήσωμεν γάρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο γίνεται τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζῴου καταβαλλόμενον. ἀλλὰ μὴν οὐδεὶς ἐπ' ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ τινὶ τὸ πιθανὸν ἐφευρίσκων. τί γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου πρὸς τὴν ἐν ἐκείνῳ θεωρουμένην

3 σωματικον e || 4 φησιν en || 5 γενομενη e || 6 μυουμενοις fl vulg || om μη vulg || 7 απλως e || 8 αντερωτησω μεν vulg || περι του τροπου p || 9 γεννησεως]+του dnp || 12 εξευρισκων l vulg euth 45 || 13 om εχει vulg || ορος] σπερμα l σπερματι vulg ορασις f || om θεωρουμενην d

2. μυστήριον] here approaches the sense of 'sacrament.' Cp. c. 34 τῆς μυστικῆς ταύτης οἰκονομίας.

ib. πρὸς τὸ φαιν.] i.e. τὸ σωματικῶς ἐνεργούμενον, which includes the ritual action, the material employed, and the formula of Baptism.

3. τῇ ἐπαγγ.] The grace promised in Baptism is a spiritual gift. How can the bestowal of such a gift be said to 'coincide with' the performance of an outward, bodily act? In *in Bapt. Christi* p. 581 (Migne) Gr. defends the sacramental principle by a different argument from that of the present chapter.

5. ζωῆς ἀρχηγός] Ἀρχ. is here used as an adjective. '*A source of life.*'

6. μυηθεῖσι] Cp. c. 32 μυσταγωγεῖ (note). On the use of the words μύειν and μυστήριον with reference to the Christian Sacraments see Lightfoot's note on Ign. *Eph.* 12.

8. συγκατάθεσιν] Cp. c. 5 οὐκ ἔξω τῆς τῶν ἀντιλεγόντων ἐστὶ συγκαταθέσεως (note).

9–10. πῶς ἄ. ἐκεῖνο γίν.] Cp. *in Bapt. Christi* p. 584 (Migne) πῶς ἡ ὑγρὰ καὶ ἄμορφος οὐσία ἄνθρωπος γίνεται; The same illustration is used by Justin (*Ap.* i 19) in treating of the resurrection of the body, and also by Methodius *de Resurr.* ii 20 (ed. Bonw. p. 235).

10. ἀφορμήν] Cp. c. 5 πάντων αὐτῷ τῶν καλῶν τὰς ἀφορμὰς ἐγκατασκεύασας (note).

11. καταβαλλ.] used of the sowing of seed in Plat. *Theaet.* 149. Cp. Heb. xi 11.

ib. ἀλλὰ μήν] '*Yet surely in that case there is no principle which discovers by any process of calculation the probable cause.*'

13. ὅρος] 'the definition' of a man. This is a common sense of the word in philosophical writers.

ib. ἐν ἐκείνῳ] i.e τῷ σπέρματι.

ποιότητα συγκρινόμενος; ἄνθρωπος λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστι, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐκεῖνο δὲ ὑγρᾷ τινὶ ἐνθεωρεῖται ποιότητι, καὶ πλεῖον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου καταλαμβάνει ἡ ἔννοια. ἦν τοίνυν εἰκός ἐστιν ἀπόκρισιν ἡμῖν γενέσθαι παρὰ τῶν ἐρωτηθέν- 5
των ὅτι πῶς ἐστὶ πιστὸν ἐξ ἐκείνου συστῆναι ἄνθρωπον, τοῦτο καὶ περὶ τῆς διὰ τοῦ ὕδατος γινομένης ἀναγεννήσεως ἐρωτηθέντες ἀποκρινούμεθα. ἐκεῖ τε γὰρ πρόχειρόν ἐστιν ἑκάστῳ τῶν ἠρωτημένων εἰπεῖν ὅτι θείᾳ δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται, ἧς μὴ παρούσης ἀκίνητόν ἐστιν ἐκεῖνο 10
καὶ ἀνενέργητον. εἰ οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης ἐκεῖ τοσαύτην τῷ θεῷ προσμαρτυροῦντας δύναμιν ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν 15
τοῦ θελήματος. τί κοινόν, φασίν, ὕδατι καὶ ζωῇ; τί δὲ κοινόν, πρὸς αὐτοὺς ἐροῦμεν, ὑγρότητι καὶ εἰκόνι θεοῦ;

1 ποιοτητα; συγκρινομενος vulg συγκρινομενην f || ο ανθρωπος vulg || 2 εκεινα e || 3 θεωρειται dehnp euth || πλεον dehnp euth || 5 γενεσθαι ημιν l vulg ημων e γινεσθαι dhnp euth || 6 εξ εκεινου πιστον dehnp euth || 7 om δια f || υδατος]+και πνευματος euth || γενομενης f || 8 om τε ehn || προχειρον] προτερον l vulg: rursus incipit g || 9 ερωτωμενων f || εκεινος l vulg || 10 εκεινο α. ε. e om εκεινο l vulg || 12 προς] εις l vulg || 16 φησιν n || δε] δαι d || 17 αυτον f vulg

1. ποιότητα] '*quality.*'

2. διανοητικόν] Cp. c. 6 τὴν διανοητικὴν δύναμιν (note). The definition of man as ζῷον λογικὸν..., νοῦ καὶ ἐπιστήμης δεκτικόν was a common one. See Reid's note on Cic. *Acad.* ii 21.

3. ποιότητι] a *dat.* of attendant circumstances. For θεωρ. with an adv. or adverbial clause, see c. 16 τὸ δ' ὅσον ... διεξοδικῶς θεωρεῖται (note). '*Is seen to possess a quality of moistness.*'

4. ἦν τοίνυν] '*The reply then which, it is probable, may be given by those whom we asked how it is credible.*' The ὅτι is recitative, and merely introduces the question πῶς κ.τ.λ.

11. τὸ ὑποκείμενον] used here in its Aristotelian sense of 'matter' as opposed to 'form' = ὕλη. Cp. Arist. *Pol.* i 8. 2 λέγω δὲ ὕλην τὸ ὑποκείμενον ἐξ οὗ τι ἀποτελεῖται ἔργον, οἷον ὑφάντῃ μὲν ἔρια, ἀνδριαντοποιῷ δὲ χαλκόν. '*The matter does not produce the man, but the Divine power changes the visible thing into a man's nature.*'

14. ἀτονεῖν] fr. ἄτονος, 'slack,' 'relaxed'; hence '*to be powerless.*'

15. ἐν τῷ μέρει] '*in this respect.*' See Lightfoot's note on Col. ii 16.

ἀλλ᾽ οὐδὲν ἐκεῖ τὸ παράδοξον, εἰ θεοῦ βουλομένου πρὸς τὸ τιμιώτατον ζῷον τὸ ὑγρὸν μεταβαίνει. τὸ ἴσον καὶ ἐπὶ τούτου φαμὲν μηδὲν εἶναι θαυμαστὸν εἰ θείας δυνάμεως παρουσία πρὸς ἀφθαρσίαν μετασκευάζει τὸ ἐν τῇ φθαρτῇ φύσει γενόμενον.

34. Ἀλλὰ ζητοῦσιν ἀπόδειξιν τοῦ παρεῖναι τὸ θεῖον ἐπὶ ἁγιασμῷ τῶν γινομένων καλούμενον. ὁ δὲ τοῦτο ζητῶν ἀναγνώτω πάλιν τὰ κατόπιν ἐξητασμένα. ἡ γὰρ κατασκευὴ τοῦ τὴν διὰ σαρκὸς ἡμῖν ἐπιφανεῖσαν δύναμιν ἀληθῶς θείαν εἶναι τοῦ παρόντος λόγου συνηγορία γίνεται. δειχθέντος γὰρ τοῦ θεὸν εἶναι τὸν ἐν σαρκὶ φανερωθέντα,

4 φθαρτη] φθορα e ‖ 5 γεννωμενον d **34.** 7 τω αγιασμω p αγιασμων vulg ‖ γινομενων] τελουμενων f

2. τιμιώτατον ζῷον] a Platonic expression. Krab. quotes Plat. *Legg.* p. 766 A ἄνθρωπος δέ, ὡς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῶς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ.

4. τὸ ἐν τ. φ.] '*transforms what is born in a nature subject to corruption into a state of incorruption*,' i.e. by the regeneration of baptism.

34. *What proof, it may be asked, have we of the presence of the Divine Being, when invoked in Baptism? To this Gr. replies that the miracles of the incarnate Christ shew that the Divine power has been present among men. Moreover God is a God of truth, and He has promised to be present with believers who call upon Him. Add to this the fact that the baptismal rite is preceded by the invocation of God through prayer, and we thus have more than sufficient proof of His operation in the sacrament. In human generation the Divine power acts through the human parents without any such invocation. In baptism there is the action of God's power, in accordance with His promise to be present in this way, cooperating with the human will, and at the same time there is the help which comes through prayer. Such prayer, even if it does not effect an addition to the grace received, does not hinder its operation. The operation of grace then in baptism is due to the fact that He Who promised it is Divine, while His Divinity is shewn by miracles.*

7. ἐπὶ ἁγιασμῷ τ. γ.] '*for the sanctification of the rite*.' For ἐπὶ to denote purpose see c. 5 ἐπὶ τούτοις (note).

8. τὰ κατ. ἐξ.] 'our preceding investigations,' i.e. the argument by which Gr. has established the Divine nature of Christ in cc. 11, 12.

9. κατασκευή] '*proof*,' cp. *prol.* κατασκευαῖς (note).

ib. τὴν διὰ σαρκός] Cp. c. 12 ἐπὶ τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος θεοῦ (note).

11. δειχθέντος] agrees with the substantival clause τοῦ θεὸν εἶναι κ.τ.λ., the whole forming a *gen.* absolute. Δείξαντα κ.τ.λ. forms a subordinate clause, dependent on τὸν...φανερωθέντα. The reading of *ehn* and Euth. is an attempt to simplify the construction. '*For when it*

τοῖς διὰ τῶν γινομένων θαύμασι τὴν φύσιν ἑαυτοῦ δείξαντα, συναπεδείχθη τὸ παρεῖναι τοῖς γινομένοις αὐτὸν κατὰ πάντα καιρὸν ἐπικλήσεως. ὥσπερ γὰρ ἑκάστου τῶν ὄντων ἔστι τις ἰδιότης ἡ τὴν φύσιν γνωρίζουσα, οὕτως ἴδιον τῆς θείας φύσεώς ἐστιν ἡ ἀλήθεια. ἀλλὰ μὴν ἀεὶ παρέσεσθαι τοῖς ἐπικαλουμένοις ἐπήγγελται, καὶ ἐν μέσῳ τῶν πιστευόντων εἶναι, καὶ ἐν πᾶσι μένειν καὶ ἑκάστῳ συνεῖναι. οὐκέτ' οὖν ἂν ἑτέρας εἰς τὸ παρεῖναι τὸ θεῖον τοῖς γινομένοις ἀποδείξεως προσδεοίμεθα, τὸ μὲν θεὸν εἶναι διὰ τῶν θαυμάτων αὐτῶν πεπιστευκότες, ἴδιον δὲ τῆς θεότητος τὸ ἀμίκτως πρὸς τὸ ψεῦδος ἔχειν εἰδότες, ἐν δὲ τῷ ἀψευδεῖ τῆς ὑποσχέσεως παρεῖναι τὸ ἐπηγγελμένον οὐκ ἀμφιβάλλοντες. τὸ δὲ προηγεῖσθαι τὴν διὰ

1 και δια τ. γ. θαυματων ehn euth θαυμασιων f || 4 ιδιοτης τις f || 5 ιδιον ε. τ. θ. φ. l vulg || 8 om ουν fl vulg και ουκετ l vulg om αν deghnp euth || 9 προσδεομεθα d || τον μεν vulg || 10 αυτον dhnp || πιστευοντες f || 10–11 ιδιον...ειδοτες om l* vulg || 13 ουκ] μη f || αμφιβαλλοντες] desinit euth

was shewn that He Who was manifested in the flesh is God, seeing that He revealed His own nature by means of the wonders exhibited in the events of His life.'

2. συναπεδείχθη] The two arguments on which Gr. rests his proof of the operation of God through sacraments are: (1) the Incarnation has shewn that God's power has been at work among men. (2) Christ's promise to be present with the faithful and have special intercourse with them can be relied upon, because God is a God of truth. The present passage deals with the former of these. The latter is the subject of the following sentences.

ib. τοῖς γινομένοις] Cp. *supra* τῶν γινομένων. '*It was shewn that He is present at what is done every time that He is invoked.*'

4. ἰδιότης] '*peculiarity.*'

5. ἀλλὰ μήν] '*well, then.*'

ib. ἀεὶ παρέσεσθαι] Mt. vii 7; Jn xiv 13, xv 7, 16, xvi 23.

6. ἐν μέσῳ] Mt. xviii 20, xxviii 20.

7. ἐν πᾶσι μένειν] Jn xv 4 foll.

8. συνεῖναι] '*have intercourse with.*' Jn xiv 23.

12. ἐν δὲ τῷ ἀψ.] '*that the thing promised is there in virtue of the unfailing truth of the promise.*'

13. τὸ δὲ προηγ.] '*while the fact that the invocation by prayer precedes the Divine dispensation constitutes as it were a superabundance of proof.*' Gr. means that the facts already cited are sufficient to prove the working of Divine grace, apart from the argument derived from the invocation of God by prayer. He illustrates his meaning by the analogy of human generation in which Divine power cooperates with human effort irrespective of such invocation.

τῆς εὐχῆς κλῆσιν τῆς θείας οἰκονομίας περιουσία τίς ἐστι τῆς ἀποδείξεως τοῦ κατὰ θεὸν ἐπιτελεῖσθαι τὸ ἐνεργούμενον. εἰ γὰρ ἐπὶ τοῦ ἑτέρου τῆς ἀνθρωποποιίας εἴδους αἱ τῶν γεννώντων ὁρμαί, κἂν μὴ ἐπικληθῇ παρ' αὐτῶν δι' εὐχῆς τὸ θεῖον, τῇ τοῦ θεοῦ δυνάμει, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, διαπλάσσουσι τὸ γεννώμενον, ἧς χωρισθείσης ἄπρακτός ἐστιν ἡ σπουδὴ καὶ ἀνόνητος, πόσῳ μᾶλλον ἐν τῷ πνευματικῷ τῆς γεννήσεως τρόπῳ, καὶ θεοῦ παρέσεσθαι τοῖς γινομένοις ἐπηγγελμένου καὶ τὴν παρ' ἑαυτοῦ δύναμιν ἐντεθεικότος τῷ ἔργῳ, καθὰ πεπιστεύκαμεν, καὶ τῆς ἡμετέρας προαιρέσεως πρὸς τὸ σπουδαζόμενον τὴν ὁρμὴν ἐχούσης, εἰ συμπαραληφθείη καθηκόντως ἡ διὰ τῆς εὐχῆς συμμαχία, μᾶλλον ἐπιτελὲς ἔσται τὸ σπουδαζόμενον; καθάπερ γὰρ οἱ ἐπιφαῦσαι τὸν ἥλιον αὐτοῖς εὐχόμενοι τῷ θεῷ οὐδὲν ἀμβλύνουσι τὸ πάντως γινόμενον, οὐδὲ μὴν ἄχρηστον εἶναί τις φήσει τὴν τῶν προσευχομένων σπουδήν, εἰ περὶ τοῦ πάντως ἐσομένου τὸν θεὸν ἱκετεύουσιν, οὕτως οἱ πεπεισμένοι κατὰ τὴν

4 παρ αυτοις f ‖ 5 το θ. δι ευχης e om δι ευχης f ‖ 8 γενεσεως deghnp ‖ 9 γινομενοις] βουλομενοις f γενομενοις l vulg ‖ 10 καθως vulg ‖ 14 γαρ] om d δε l vulg ‖ επιφαναι vulg ‖ 15 εαυτοις e ‖ 16 γινομενον] εσομενον fg^{1} ‖ 18 πεπεισμ.] πεπιστευμενοι fl^{*vid} vulg

1. *οἰκονομίας*] here used of that part of the Divine 'plan' which relates to the use of sacramental means. Cp. *infra τῆς μυστικῆς ταύτης οἰκονομίας.*

5. *ἐν τοῖς ἔμπροσθεν*] in c. 33.

7. *ἄπρακτος*] '*their effort is inoperative and fruitless.*'

10. *καθὰ πεπιστ.*] on the strength of such passages e.g. as Eph. v 25, 26.

12. *εἰ συμπ.*] '*if, at the same time, the help which comes through prayer be duly invited.*'

14. *καθάπερ κ.τ.λ.*] The purpose of this illustration appears to be to shew that, even apart from any invocation to God to bestow His grace, His Divine power and His promise to come in this way constitute sufficient proof of His presence in the rite of baptism.

ib. *ἐπιφαῦσαι*] a word found in Eph. v 14.

15. *αὐτοῖς*] = *ἑαυτοῖς*. For this reflexive use of the oblique cases of *αὐτός* see Lightfoot's note on Col. i 20.

16. *πάντως*] '*that which happens in any case.*'

18. *οὕτως οἱ πεπεισμένοι*] Gr. has not fully expressed his thought in this sentence. We have to supply, with Glauber (quoted by Krab.), some such words as 'and make request to God.'

ἀψευδῆ τοῦ ἐπαγγειλαμένου ὑπόσχεσιν πάντως παρεῖναι τὴν χάριν τοῖς διὰ τῆς μυστικῆς ταύτης οἰκονομίας ἀναγεννωμένοις ἢ προσθήκην τινὰ ποιοῦνται τῆς χάριτος, ἢ τὴν οὖσαν οὐκ ἀποστρέφουσιν. τὸ γὰρ πάντως συνεῖναι διὰ τὸ θεὸν εἶναι τὸν ἐπαγγειλάμενον πεπίστευται· ἡ δὲ τῆς θεότητος μαρτυρία διὰ τῶν θαυμάτων ἐστίν. ὥστε διὰ πάντων τὸ παρεῖναι τὸ θεῖον οὐδεμίαν ἀμφιβολίαν ἔχει.

35. Ἡ δὲ εἰς τὸ ὕδωρ κάθοδος καὶ τὸ εἰς τρὶς ἓν αὐτῷ γενέσθαι τὸν ἄνθρωπον, ἕτερον ἐμπεριέχει μυστήριον. ἐπειδὴ γὰρ ὁ τῆς σωτηρίας ἡμῶν τρόπος οὐ τοσοῦτον ἐκ

4 συνειναι] om f ειναι dg*hnp παρειναι g[1]l[1] ‖ 5 το] τον fh **35.** 9 εις τρις] om εις fg[1]l vulg τρεις defg*hnp

2. μυστικῆς...οἰκ.] '*through this sacramental dispensation.*' For this use of μυστικός with reference to the sacraments cp. *c. Eunom.* xi p. 880 (Migne) τῇ τῶν μυστικῶν ἐθῶν τε καὶ συμβόλων κοινωνίᾳ τὴν σωτηρίαν κρατύνεσθαι. Similarly in *in Bapt. Christi* p. 581 (Migne) Gr. speaks of τῆς μυστικῆς πράξεως.

3. προσθήκην] i.e. by their prayers.

4. συνεῖναι] cp. *supra* ἑκάστῳ συνεῖναι.

5. ἡ δὲ τῆς θ. μαρτυρία] See *supra* and cc. 11, 12.

35. *Gr. now unfolds the inner significance of the rite of baptism. The redemptive acts of Christ, His Death and Resurrection, rather than His teaching, are the means by which man's salvation is effected. These must be reproduced or copied by His disciples. Baptism is the means by which we imitate what Christ did. The threefold immersion and rising again from the water represent the three days' burial and resurrection. But in our case the process of the resurrection is only accomplished in stages, of which Baptism is the first. The imitation of Christ consists in the break with sin begun in baptism. The two things which contribute to the overthrow of sin are repentance and the copying of the death of Christ, so far as the poverty of our nature allows. Our rising again out of the water corresponds to Christ's rising from the tomb, and shews the ease with which Christ first, and mankind after Him, pass to their resurrection. The humble beginning made in baptism is a necessary prelude to our rising again to a blessed and divine life. For those who lack the purifying grace of baptism there will also be a resurrection, but in their case, in place of the washing of baptism, there is prepared the refining fire.*

9. εἰς τρὶς] Cp. ἐπὶ τρὶς Acts x 16, xi 10. '*And the threefold immersion of the person in it.*'

10. μυστήριον] The μυστήριον here is the inner teaching contained in the rite of baptism, which he expounds in this chapter.

τῆς κατὰ τὴν διδαχὴν ὑφηγήσεως ἐνεργὸς γέγονεν ὅσον δι' αὐτῶν ὧν ἐποίησεν ὁ τὴν πρὸς τὸν ἄνθρωπον ὑποστὰς κοινωνίαν, ἔργῳ τὴν ζωὴν ἐνεργήσας, ἵνα διὰ τῆς ἀναληφθείσης παρ' αὐτοῦ καὶ συναποθεωθείσης σαρκὸς ἅπαν συνδιασωθῇ τὸ συγγενὲς αὐτῇ καὶ ὁμόφυλον, ἀναγκαῖον

1 κατα διαδοχην f* vulg || 5 διασωθη f συνδιασωθηναι vulg

1. *κατὰ τ. διδ. ὑφ.*] '*did not owe its effectiveness so much to instruction by way of teaching.*' For *ὑφήγησις*, which is a Platonic word, see note on *ὑφηγούμενον* c. 4 *sub fin.* The words *κατὰ τ. διδ.* define the character of such 'instruction.' The essence of the Gospel lies, according to Gr., not so much in the verbal teaching of Christ, as in the redemptive acts of His life.

2. *ὑποστὰς κοιν.*] For the idea that the Death and Resurrection of Christ were representative and corporate acts, in which He unites mankind with Himself, according to the teaching of St Paul (Rom. vi 3—11), cp. Ign. *Magn.* 5 *δι' οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχωμεν τὸ ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν*: *Smyrn.* 5 *μέχρις οὗ μετανοήσωσιν εἰς τὸ πάθος, ὅ ἐστιν ἡμῶν ἀνάστασις.* It is a special feature of the treatment of the Atonement in Athanasius. See e.g. *de Inc.* 8, 37; *c. Ar.* ii 7.

3. *ἔργῳ...ἐνεργήσας*] explanatory of *ἐποίησεν*. '*Seeing that He has made life an accomplished fact.*' Ἔργῳ opposed to λόγῳ. Christ did not merely teach men how life could be found. He actually effected it in them through His assumption of human nature.

4. *συναποθεωθείσης*] Cp. c. 37 *συναποθεωθῇ τὸ ἀνθρώπινον*, and for the idea see c. 25 *κατεμίχθη πρὸς τὸ ἡμέτερον, ἵνα τὸ ἡμέτερον τῇ πρὸς τὸ θεῖον ἐπιμιξίᾳ γένηται θεῖον.* The idea of a *θέωσις* of human nature resulting from the Incarnation is found as early as Irenaeus (iv *praef.* 3 *fin.*, 38. 4). It appears in Clement and Origen, and is of common occurrence in Athanasius and later fathers. The scriptural starting point of the phrase is to be found in the two passages Ps. lxxxi (lxxxii) 6 and 2 Pet. i 4. Cp. also Eph. iv 17—24. By Athanasius it is frequently associated with the idea of immortality. He also has the expressions 'renew' and 'deify' *c. Ar.* ii 47, 'hallow' and 'deify' *c. Ar.* iii 39, 'adopt' and 'deify' *c. Ar.* i 39. In using such language, however, these writers carefully distinguish the Sonship of Christ from the adoption of Christians. See further on the history of the terms *θέωσις* and *θεοποίησις* Harnack *Hist. of Dogm.* (Eng. tr.) vol. iii 164 note 2; Inge *Bampton Lectures* p. 13 and App. C. pp. 356 ff. On the *θέωσις* of the Lord's humanity Origen says in *c. Cels.* iii 474 (*Philocal.* ed. Rob. p. 124) *τὸ δὲ θνητὸν αὐτοῦ σῶμα καὶ τὴν ἀνθρωπίνην ἐν αὐτῷ ψυχὴν τῇ πρὸς ἐκεῖνον οὐ μόνον κοινωνίᾳ ἀλλὰ καὶ ἑνώσει καὶ ἀνακράσει τὰ μέγιστά φαμεν προσειληφέναι, καὶ τῆς ἐκείνου θειότητος κεκοινωνηκότα εἰς θεὸν μεταβεβληκέναι*: and again *ibid.* *τί θαυμαστὸν τὴν ποιότητα τοῦ θνητοῦ κατὰ τὸ τοῦ Ἰησοῦ σῶμα προνοίᾳ θεοῦ βουληθέντος μεταβαλεῖν εἰς αἰθέριον καὶ θείαν ποιότητα;*

5. *ὁμόφυλον*] Cp. c. 5 *ὡς οἰκεῖον ἑκατέρου καὶ ὁμόφυλον...τῷ μὲν τὸν ἀέρα, τῷ δὲ τὸ ὕδωρ εἶναι* (note).

ἦν ἐπινοηθῆναί τινα τρόπον, ἐν ᾧ τις ἂν συγγένειά τε καὶ ὁμοιότης ἐν τοῖς γινομένοις παρὰ τοῦ ἑπομένου πρὸς τὸν ἡγούμενον. χρὴ τοίνυν ἰδεῖν ἐν τίσιν ὁ τῆς ζωῆς ἡμῶν καθηγησάμενος ἐθεωρήθη, ἵνα, καθὼς φησιν ὁ ἀπόστολος, κατὰ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν κατορθωθῇ τοῖς ἑπομένοις ἡ μίμησις. ὥσπερ γὰρ παρὰ τῶν πεπαιδευμένων τὰ τακτικὰ πρὸς τὴν ὁπλιτικὴν ἐμπειρίαν ἀνάγονται οἱ δι' ὧν βλέπουσιν πρὸς τὴν εὔρυθμόν τε καὶ ἐνόπλιον κίνησιν παιδευόμενοι, ὁ δὲ μὴ πράττων τὸ προδεικνύμενον ἀμέτοχος τῆς τοιαύτης ἐμπειρίας μένει, κατὰ τὸν αὐτὸν τρόπον τῷ πρὸς τὴν σωτηρίαν ἡμῶν ἐξηγουμένῳ πάντως οἷς ἴση πρὸς τὸ ἀγαθόν ἐστιν ἡ σπουδὴ ὁμοίως ἐπάναγκες διὰ μιμήσεως ἕπεσθαι, τὸ παρ' αὐτοῦ προδειχθὲν εἰς ἔργον ἄγοντας. οὐ γὰρ ἔστι πρὸς τὸ ἴσον καταντῆσαι πέρας, μὴ διὰ τῶν ὁμοίων ὁδεύσαντας. καθάπερ γὰρ οἱ τὰς τῶν λαβυρίνθων πλάνας διεξελθεῖν ἀμηχανοῦντες, εἴ τινος

3 καθιδειν f* || 4 εθεωρηθη] επενοηθη e || 6 παιδευομενων g*p || 7. εναγονται efg^1 || 8 δι ων βλεπουσιν οι l^1 vulg om οι l*g || 11 παντας h || 14 αγαγοντας l*^{vid} vulg || καταρτισαι l* vulg

1. ἐπινοηθῆναι] Cp. c. 22 τὸν δίκαιον τρόπον ἐπινοηθῆναι.

ib. συγγένεια] used here as little more than a synonym for ὁμοιότης.

2. ἐν τ. γιν.] '*in what is done by him who follows.*' The reference is, of course, to the rite of baptism. Πρὸς τὸν ἡγ. depends on ὁμοιότης.

3–4. ἐν τίσιν...ἐθεωρήθη] Θεωρεῖσθαι as usual is a mere synonym for εἶναι or γίγνεσθαι. For the expression εἶναι ἐν or γίγνεσθαι ἐν cp. c. 1 ἐν ζωῇ...εἶναι.

ib. ὁ τῆς ζωῆς...καθηγ.] '*the Author of life.*'

4. ὁ ἀπόστολος] Heb. ii 10. Gr., like Athanasius and Gregory of Nazianzus, includes the Epistle among those of St Paul.

5. κατορθωθῇ] lit. 'may be set right,' '*may be directed in accordance with.*' Cp. Aesch. *Cho.* 512 δρᾶν κατώρθωσαι φρενί. Τοῖς ἐπ. *dat.* of interest.

6. ὥσπερ γάρ] '*For as they who are trained by what they see into rhythmical and orderly movement are led on to skill in arms by trained tacticians.*' Ἐνόπλιος is used of the metrical time adapted to the tune of a march. Cp. Ar. *Nub.* 651 ἐπαίονθ' ὁποῖός ἐστι τῶν ῥυθμῶν κατ' ἐνόπλιον. Hence it is used of a rhythmical movement.

11. τῷ...ἐξηγουμένῳ] i.e. Jesus Christ. Τῷ ἐξ. is governed by ἕπεσθαι. '*They who have an equal zeal for what is good must in like manner follow by way of careful imitation Him who conducts us to our salvation.*'

16. λαβυρίνθων πλάνας] '*the windings of mazes.*' Τῶν οἴκων shows that Gr. has in view some such building as the labyrinth of Minos of Crete.

ἐμπείρως ἔχοντος ἐπιτύχοιεν, κατόπιν ἑπόμενοι τὰς ποικίλας τε καὶ ἀπατηλὰς τῶν οἴκων ἀναστροφὰς διεξέρχονται, οὐκ ἂν διεξελθόντες, μὴ κατ' ἴχνος ἑπόμενοι τῷ προάγοντι, οὕτω μοι νόησον καὶ τὸν τοῦ βίου τούτου λαβύρινθον ἀδιεξίτητον εἶναι τῇ ἀνθρωπίνῃ φύσει, εἰ μή τις τῆς αὐτῆς ὁδοῦ λάβοιτο δι' ἧς ὁ ἐν αὐτῷ γενόμενος ἔξω κατέστη τοῦ περιέχοντος. λαβύρινθον δέ φημι τροπικῶς τὴν ἀδιέξοδον τοῦ θανάτου φρουράν, ᾗ τὸ δείλαιον τοῦ ἀνθρώπου γένος περιεσχέθη. τί οὖν περὶ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν ἐθεασάμεθα; τριήμερον νέκρωσιν καὶ πάλιν ζωήν. οὐκοῦν χρή τι τοιοῦτον καὶ ἐν ἡμῖν ἐπινοηθῆναι ὁμοίωμα. τίς οὖν ἐστὶν ἡ ἐπίνοια δι' ἧς καὶ ἐν ἡμῖν πληροῦται τοῦ παρ' ἐκείνου γεγονότος ἡ μίμησις; ἅπαν τὸ νεκρωθὲν οἰκεῖόν τινα καὶ κατὰ φύσιν ἔχει χῶρον, τὴν γῆν, ἐν ᾗ κλίνεταί τε καὶ κατακρύπτεται. πολλὴν δὲ πρὸς ἄλληλα τὴν συγγένειαν ἔχει γῆ τε καὶ ὕδωρ, μόνα τῶν στοιχείων βαρέα τε ὄντα καὶ κατωφερῆ, καὶ ἐν ἀλλήλοις μένοντα καὶ δι' ἀλλήλων κρατούμενα. ἐπεὶ οὖν τοῦ καθηγουμένου τῆς ζωῆς ἡμῶν ὁ θάνατος ὑπόγειος κατὰ τὴν κοινὴν γέγονε φύσιν, ἡ τοῦ θανάτου μίμησις ἡ παρ' ἡμῶν γινομένη ἐν τῷ γείτονι διατυποῦται στοιχείῳ. καὶ ὡς ἐκεῖνος ὁ ἄνωθεν ἄνθρωπος ἀναλαβὼν τὴν νεκρότητα μετὰ τὴν ὑπόγειον

3 μη] ει μη l^1 om l^* || 6 om o dhn || 7 αδιεξοδευτον en || 8 φρουραν] φθοραν vulg || 9 om ημων l^* vulg || 11 om τι deg*hnp || 15 κλινεται τε] και αναλυεται f om τε l vulg || 19 υπογειος] + και ehl vulg || 21 αποτυπ- vulg

6. ὁδοῦ] '*take to the same path.*' For this use of the *gen.* with λαμβάνεσθαι cp. Thucyd. iii 24 λαβόμενοι τῶν ὁρῶν.

ib. δι' ἧς] '*by which He who entered it succeeded in passing outside His environment.*'

8. φρουράν] Cp. c. 23 ἐν τῇ τοῦ θανάτου φρουρᾷ. Krab. compares Plato *Phaed.* 62 B ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι.

ib. τοῦ ἀνθρώπου] here used of 'mankind' as a whole.

10. νέκρωσιν] '*a state of death.*'

17. κατωφερῆ] = κάτω φερόμενα.

18. δι' ἀλλ. κρατ.] '*held by one another.*'

21. διατυποῦται] '*is represented in the neighbouring element.*' Gr. has the same idea in *in Bapt. Christi* p. 585 (Migne) ἐπὶ δὲ τὸ συγγενὲς τῆς γῆς στοιχεῖον, τὸ ὕδωρ, ἐρχόμενοι, ἐκείνῳ ἑαυτοὺς ἐγκρύπτομεν, ὡς ὁ σωτὴρ τῇ γῇ.

ib. ὁ ἄνωθεν ἄνθ.] Jn iii 31, 1 Cor. xv 47.

22. ἀναλαβών] '*after He had assumed a state of death.*'

θέσιν τριταῖος ἐπὶ τὴν ζωὴν πάλιν ἀνέδραμεν, οὕτω πᾶς ὁ συνημμένος κατὰ τὴν τοῦ σώματος φύσιν ἐκείνῳ πρὸς τὸ αὐτὸ κατόρθωμα βλέπων, τὸ κατὰ τὴν ζωὴν λέγω πέρας, ἀντὶ γῆς τὸ ὕδωρ ἐπιχεάμενος καὶ ὑποδὺς τὸ στοιχεῖον ἐν τρισὶ περιόδοις τὴν τριήμερον τῆς ἀνα- 5
στάσεως χάριν ἀπεμιμήσατο. εἴρηται δὲ τὸ τοιοῦτον καὶ ἐν τοῖς φθάσασιν, ὅτι κατ' οἰκονομίαν ἐπῆκται τῇ ἀνθρωπίνῃ φύσει παρὰ τῆς θείας προνοίας ὁ θάνατος, ὥστε τῆς κακίας ἐν τῇ διαλύσει τοῦ σώματος καὶ τῆς ψυχῆς ἐκρυείσης πάλιν διὰ τῆς ἀναστάσεως σῶον καὶ 10
ἀπαθῆ καὶ ἀκέραιον καὶ πάσης τῆς κατὰ κακίαν ἐπιμιξίας ἀλλότριον ἀναστοιχειωθῆναι τὸν ἄνθρωπον. ἀλλ' ἐπὶ μὲν τοῦ καθηγουμένου τῆς σωτηρίας ἡμῶν τὸ τέλειον ἡ κατὰ τὸν θάνατον ἔσχεν οἰκονομία, κατὰ τὸν ἴδιον

3 βλεπει e || 4 επιχεομενος dp || 6 om το vulg || 9 ωστε] ως f vulg

3. *κατόρθωμα*] a philosophical term denoting 'right conduct' or 'duty.' On the patristic use of the word='a right action,' 'a good work,' see Suicer *Thesaurus*. So Krab. (following the Paris editors) translates here 'ad idem, quod ab ipso recte gestum est, intuens.' The word, however, seems here to be used in the simpler sense of 'a successful accomplishment.' '*Looking to the same successful issue.*' So Oehler, 'in Aussicht auf das gleiche glückliche Werk.' Cp. c. 36 *τῇ εὐκολίᾳ τοῦ κατορθώματος*.

ib. *τὸ κ. τ. ζ....πέρας*] '*the goal, which is life.*' For this use of *κατά* with the acc. as a circumlocution for the gen. see Blass *N.T. Gramm.* (Eng. tr.) p. 133.

4. *ἐπιχεάμενος*] '*having water poured upon him.*' This is the force of the mid. Cp. *infra τὸ ὕδωρ τρὶς ἐπιχεάμενοι*. The word suggests affusion, rather than immersion. But *ὑποδύς* which follows implies immersion.

5. *περιόδοις*] Gr. is thinking of the 'three separate times' that the convert is immersed and rises again from the baptismal waters.

ib. *τριήμερον*] '*attained after three days.*' Cp. *in Bapt. Chr.* p. 585 (Migne) *τὴν τριήμερον ἑαυτοῖς τῆς ἀναστάσεως χάριν ἐξεικονίζομεν*.

7. *ἐν τοῖς φθάσ.*] i.e. in c. 8. See also c. 16.

ib. *κατ' οἰκονομίαν*] '*by way of accommodation,*' i.e. in view of the circumstances of man's Fall. 'Επῆκται, '*introduced.*'

10. *ἐκρυείσης*] Cp. c. 16 *τῆς ἐμμιχθείσης τῇ φύσει κακίας διὰ τῆς διαλύσεως ἡμῶν ἐκρυείσης*.

11. *ἀπαθῆ*] '*free from passion.*' 'Ακέραιον, '*pure.*' Cp. Rom. xvi 19.

12. *ἀναστοιχειωθῆναι*] Cp. c. 8 *πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ἀναστοιχειώσει τὸ σκεῦος*.

14. *ἡ κ. τ. θ....οἰκ.*] Cp. c. 32 *ἐν τῷ καιρῷ τῆς κατὰ τὸν θάνατον οἰκονομίας*. Gr. means that in Christ's death the purpose for which death was appointed was fully attained (*τὸ τέλειον ἔσχεν*). This is further explained in the following sentence *διεστάλη τε γὰρ κ.τ.λ.*

ib. *κατὰ τ. ἴδ. σκοπόν*] '*being*

σκοπὸν ἐντελῶς πληρωθεῖσα. διεστάλη τε γὰρ διὰ τοῦ θανάτου τὰ ἡνωμένα καὶ πάλιν συνήχθη τὰ διακεκριμένα, ὡς ἂν καθαρθείσης τῆς φύσεως ἐν τῇ τῶν συμφυῶν διαλύσει, ψυχῆς τε λέγω καὶ σώματος, πάλιν ἡ τῶν κεχωρισμένων ἐπάνοδος τῆς ἀλλοτρίας ἐπιμιξίας καθαρεύουσα γένοιτο· ἐπὶ δὲ τῶν ἀκολουθούντων τῷ καθηγουμένῳ οὐ χωρεῖ τὴν ἀκριβῆ μίμησιν δι' ὅλων ἡ φύσις, ἀλλ' ὅσον δυνατῶς ἔχει, τοσοῦτον νῦν παραδεξαμένη, τὸ λεῖπον τῷ μετὰ ταῦτα ταμιεύεται χρόνῳ. τί οὖν ἔστιν ὃ μιμεῖται; τὸ τῆς ἐμμιχθείσης κακίας ἐν τῇ τῆς νεκρώσεως εἰκόνι τῇ γενομένῃ διὰ τοῦ ὕδατος τὸν ἀφανισμὸν ἐμποιῆσαι, οὐ μὴν τελείως ἀφανισμόν, ἀλλά τινα διακοπὴν τῆς τοῦ κακοῦ συνεχείας, συνδραμόντων δύο πρὸς τὴν τῆς κακίας ἀναίρεσιν, τῆς τε τοῦ πλημμελήσαντος μεταμελείας καὶ τῆς τοῦ θανάτου μιμήσεως, δι' ὧν ἐκλύεταί πως ὁ ἄνθρωπος τῆς πρὸς τὸ κακὸν συμφυίας, τῇ μεταμελείᾳ μὲν εἰς μῖσός

4 om λεγω f ‖ 5–6 γενοιτο καθαρευουσα l om γενοιτο h ‖ 8 νυν]+ δυνατως f ‖ 9 εν τω μετα l vulg ‖ τεταμιευται e ‖ 10 επιμιχθεισης d ‖ 11 εμφανισμον e ‖ 13 δυοιν f vulg

completely fulfilled in accordance with its special aim.' For ἐντελῶς see note on ἐντελῆ c. 24.

1. διεστάλη] For the argument see c. 16, upon which the language of the present passage is largely modelled.

3. συμφυῶν] Cp. c. 16 ἀλλήλοις συμφυομένων.

7. οὐ χωρεῖ] '*our nature does not admit of.*'

9. ταμιεύεται] '*what is lacking it stores up for* (lit. '*in*') *the time to come.*' For ταμιεύειν cp. c. 8 ἐν τῷ μετὰ ταῦτα βίῳ τεταμίευται ἡ θεραπεία.

10–11. τὸ... ἐμποιῆσαι] The action here described is the answer to the preceding question τί...ἔστιν ὃ μιμεῖται; '*The effecting of the destruction of the evil mingled in our nature, represented in the image of mortification conveyed by the water.*' Διὰ τοῦ ὕδατος goes with γενομένῃ. The passing beneathe the water is an εἰκών of mortification, just as the rising again is a type of the resurrection. Cp. *infra* τὴν σωτήριον ταφὴν καὶ ἀνάστασιν...ὑποκρινόμεθα.

12. διακοπήν] It is not so much a complete destruction of sin, as 'a kind of break in the continuity of sin.' Διακοπή is lit. 'a gash' or 'cleft.'

14. μεταμελείας] 'repentance,' used here in the same sense as μετάνοια.

14–15. τ. τ. θ. μιμήσεως] Gr. means by this expression the baptismal imitation of the death of Christ. The complete 'death unto sin' is only ideally and not actually realized in baptism.

16. συμφυίας] Cp. συμφυῶν *supra* and c. 8 πολλὴν γεγενῆσθαι τῇ ψυχῇ πρὸς τὸ κακὸν συμφυίαν.

τε καὶ ἀλλοτρίωσιν τῆς κακίας χωρῶν, τῷ δὲ θανάτῳ τοῦ κακοῦ τὸν ἀφανισμὸν ἐργαζόμενος. ἀλλ' εἰ μὲν ἦν δυνατὸν ἐν τελείῳ τῷ θανάτῳ γενέσθαι τὸν μιμούμενον, οὐδ' ἂν μίμησις, ἀλλὰ ταὐτότης τὸ γινόμενον ἦν, καὶ εἰς τὸ παντελὲς τὸ κακὸν ἐκ τῆς φύσεως ἡμῶν ἠφανίζετο, ὥστε, καθώς φησιν ὁ ἀπόστολος, ἐφάπαξ ἀποθανεῖν τῇ ἁμαρτίᾳ. ἐπεὶ δέ, καθὼς εἴρηται, τοσοῦτον μιμούμεθα τῆς ὑπερεχούσης δυνάμεως ὅσον χωρεῖ ἡμῶν ἡ πτωχεία τῆς φύσεως, τὸ ὕδωρ τρὶς ἐπιχεάμενοι καὶ πάλιν ἀναβάντες ἀπὸ τοῦ ὕδατος, τὴν σωτήριον ταφὴν καὶ ἀνάστασιν τὴν ἐν τριημέρῳ γενομένην τῷ χρόνῳ ὑποκρινόμεθα, τοῦτο λαβόντες κατὰ διάνοιαν ὅτι, ὡς ἡμῖν ἐν ἐξουσίᾳ τὸ ὕδωρ ἐστί, καὶ ἐν αὐτῷ γενέσθαι καὶ ἐξ αὐτοῦ πάλιν ἀναδῦναι, κατὰ τὸν αὐτὸν τρόπον ἐπ' ἐξουσίας ἦν ὁ τοῦ παντὸς ἔχων τὴν δεσποτείαν, ὡς ἡμεῖς ἐν τῷ ὕδατι, οὕτως ἐκεῖνος ἐν τῷ θανάτῳ καταδυείς, πάλιν ἐπὶ τὴν ἰδίαν ἀναλύειν μακαριότητα. εἰ οὖν τις πρὸς τὸ εἰκὸς βλέποι καὶ κατὰ τὴν ἐν ἑκατέρῳ δύναμιν τὰ γινόμενα κρίνοι, οὐδεμίαν ἐν τοῖς

1 om τε f || 3 om τω h || 5 της φυσεως ημων το κακον l vulg || 6 αποθανη vulg || 9 αναβαινοντες f || 11 υποτυπουμεθα fg^{1}l^{1} αποκρινομεθα vulg (l* rasuram habet) || 12 το υδωρ εν εξουσια l vulg || 14 τω...επεχοντι f^{1} || 15–16 εν τω θανατω] αθανατω e || 16 καταδυναι f^{1} || αναλυσαι f^{1}g^{1} || 17 om εν l vulg || 18 τα γιν. κρινοι δυναμιν f

1. ἀλλοτρ.] '*putting away of vice.*'

3. τελείῳ] '*a death that was complete.*' The adj. is used as a predicate.

6. ὁ ἀπόστολος] Rom. vi 10.

10. ταφ. καὶ ἀνάστασιν] Similarly Cyril of Jerusalem says *C. M.* ii 4, 5 κατεδύετε τρίτον εἰς τὸ ὕδωρ καὶ ἀνεδύετε πάλιν, καὶ ἐνταῦθα διὰ συμβόλου τὴν τριήμερον τοῦ Χριστοῦ αἰνιττόμενοι ταφήν...οὐκ ἀληθῶς ἀπεθάνομεν, οὐδ' ἀληθῶς ἐτάφημεν, οὐδ' ἀληθῶς σταυρωθέντες ἀνέστημεν, ἀλλ' ἐν εἰκόνι ἡ μίμησις, ἐν ἀληθείᾳ δὲ ἡ σωτηρία. The basis of this exposition of baptism is of course Rom. vi 3—11.

11. τοῦτο] refers to what follows ὅτι κ.τ.λ.

ib. λαβ. κ. διάνοιαν] '*thus interpreting it with the mind.*'

12. ἐν ἐξουσίᾳ] It was in the power of Christ to rise from the dead, just as it is in the power of man to rise out of the waters of baptism.

16. ἀναλύειν] 'return.' Cp. c. 23 τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν (note) and c. 39 πρὸς ἑαυτὸν ἀναλύων.

γινομένοις εὑρήσει διαφοράν, ἑκατέρου κατὰ τὸ τῆς φύσεως μέτρον ἐξεργαζομένου τὰ κατὰ δύναμιν. ὡς γὰρ ἔστιν ἀνθρώπῳ τὸ ὕδωρ πρὸς τὸ ἀκινδύνως ἐπιθιγγάνειν, εἰ βούλοιτο, ἀπειροπλασίως τῇ θείᾳ δυνάμει κατ' εὐκολίαν ὁ θάνατος πρόκειται, καὶ ἐν αὐτῷ γενέσθαι καὶ μὴ τραπῆναι πρὸς πάθος. διὰ τοῦτο τοίνυν ἀναγκαῖον ἡμῖν τὸ ἐν τῷ ὕδατι προμελετῆσαι τὴν τῆς ἀναστάσεως χάριν, ὡς ἂν εἰδείημεν ὅτι τὸ ἴσον ἡμῖν εἰς εὐκολίαν ἐστὶν ὕδατί τε βαπτισθῆναι καὶ ἐκ τοῦ θανάτου πάλιν ἀναδῦναι. ἀλλ' ὥσπερ ἐν τοῖς κατὰ τὸν βίον γινομένοις τινὰ τινῶν ἐστὶν ἀρχηγικώτερα, ὧν ἄνευ οὐκ ἂν τὸ γινόμενον κατορ-

1 διαφωνιαν 1^{*vid} vulg || κατα] προς f || 2 επεργαζ- n εξεργασαμ- fl vulg || 4–5 ο θανατος κ. ε. f || 5 om ο vulg || 6 το παθος en || 6–7 το προ. εν υδατι αναγκαιον ημιν f || 7 om το e || 10 γενομενοις fl vulg || 11 αρχικωτερα deghnp || om ουκ vulg || αν] καν vulg

1. διαφοράν] The idea of Gr. is that in each case the result is in proportion to the capacity of each. Christ by His Passion and Resurrection effected a result proportionate to His supernatural character. Man by submitting to Baptism equally effects that which is within his capacity, i.e. such a death unto sin as he is capable of.

2. ἔστιν] = ἔξεστιν.

3. ἐπιθιγγάνειν] A marginal note in *e* explains this as equivalent to ψαύειν, ἅπτεσθαι, while the margin of *p* has ἐγγίζειν. As used here it is a somewhat colourless term. '*Come in contact with.*'

4. ἀπειροπλασίως] 'infinitely more,' strengthens κατ' εὐκολίαν.

ib. κατ' εὐκολίαν] '*with facility*' or '*ease.*' Εὐκολία is used by Plato (*Legg.* 942 D) of bodily agility. Logically ἀπειροπλασίως and κατ' εὐκολίαν are connected with γενέσθαι and μὴ τραπῆναι, rather than with πρόκειται.

5. πρόκειται] '*is set before.*' The following infinitives γενέσθαι and μὴ τραπῆναι are explanatory of πρόκειται.

ib. τραπῆναι πρὸς πάθος] '*to suffer any change involving weakness.*' Cp. the argument of c. 16.

7. προμελετῆσαι] Baptism is a representation in act or 'preparatory rehearsal' of the resurrection.

8. τὸ ἴσον...εἰς εὐκ.] Τὸ ἴσον modifies εἰς εὐκ. Cp. ἀπειροπλασίως κατ' εὐκολίαν *supra.*

9. ἀναδῦναι] suggested by the rising from the immersion of baptism.

10. ἀλλ' ὥσπερ] Baptism, Gr. says, may seem a humble beginning of a process which finds its climax in a resurrection to a life of blessedness. Yet it is a necessary beginning, if that final state is to be attained, just as the humble beginnings of human life are a necessary stage in the production of a man.

11. ἀρχηγικώτερα] '*there are some things which are primary in comparison with others.*'

θωθείη, καίτοι, εἰ πρὸς τὸ πέρας ἡ ἀρχὴ κρίνοιτο, ἀντ' οὐδενὸς εἶναι δόξει τοῦ πράγματος ἡ ἀρχὴ συγκρινομένη τῷ τέλει· τί γὰρ ἴσον ἄνθρωπος καὶ τὸ πρὸς τὴν σύστασιν τοῦ ζῴου καταβαλλόμενον; ἀλλ' ὅμως, εἰ μὴ ἐκεῖνο εἴη, οὐδ' ἂν τοῦτο γένοιτο· οὕτως καὶ τὸ κατὰ τὴν μεγάλην ἀνάστασιν, μεῖζον ὂν τῇ φύσει, τὰς ἀρχὰς ἐντεῦθεν καὶ τὰς αἰτίας ἔχει· οὐ γάρ ἐστι δυνατὸν ἐκεῖνο γενέσθαι, εἰ μὴ τοῦτο προκαθηγήσαιτο. μὴ δύνασθαι δέ φημι δίχα τῆς κατὰ τὸ λουτρὸν ἀναγεννήσεως ἐν ἀναστάσει γενέσθαι τὸν ἄνθρωπον, οὐ πρὸς τὴν τοῦ συγκρίματος ἡμῶν ἀνάπλασίν τε καὶ ἀναστοιχείωσιν βλέπων· πρὸς τοῦτο γὰρ δεῖ πάντως πορευθῆναι τὴν φύσιν οἰκείαις ἀνάγκαις κατὰ

2 τα πραγματα d || 11 αναβλεποντες vulg. || 12 δη παντως δει dgl*vid δει παντως δει hnp

1. πρὸς τὸ πέρας] '*with reference to* (or '*by comparison with*') *the end.*'

ib. ἀντ' οὐδενός] 'as good as nothing,' '*of no account.*'

3. τί γάρ κ.τ.λ.] Cp. c. 33. '*What equality is there between a man and*' etc.

4. ἐκεῖνο] refers to τὸ ... καταβαλλόμενον, τοῦτο to ἄνθρωπος.

5. τὴν μεγάλην ἀν.] The words μεγάλην and μεῖζον contrast the resurrection with its symbolic beginning in baptism.

6. ἐντεῦθεν] i.e. from baptism.

9. κατὰ τὸ λουτρόν] Cp. c. 32 *fin.* ἡ κατὰ τὸ λουτρὸν οἰκονομία.

10–11. οὐ...βλέπων] By the resurrection Gr. does not mean the general resurrection of all men resulting from the mere 'refashioning' and 'renewal' of the composite elements of man's being, which were dissolved in death. He means the restoration to the blessed and divine life (τὴν ἐπὶ τὸ μακάριόν τε καὶ θεῖον...ἀποκατάστασιν).

ib. συγκρίματος] Cp. c. 16 τοῦ ἀνθρωπίνου συγκρίματος.

11. ἀναστοιχείωσιν] On the words ἀναστοιχειοῦν and ἀναστοιχείωσις see c. 8 (notes). They are used commonly by Gr. to denote the renewal of humanity through the Incarnation. Here, however, Gr. uses ἀναστοιχείωσις in a more general sense of the recombination of the elements of human nature, after the dissolution of death.

ib. πρὸς τοῦτο] This clause, as far as μυήσεως, is a parenthesis, explaining what he means by the general resurrection.

12. οἰκ. ἀνάγκαις] '*for to this our nature must in any case attain, impelled by its own fixed laws, in accordance with the plan of Him who so designed it.*' Gr. means that the resurrection of mankind is due to the operation of natural laws, and distinct from the resurrection to a life of blessedness, which is the work of grace. Gr. assumes here, what he has already stated (cc. 5, 8), that man is by nature immortal. See esp. c. 8 ἡ νεκρότης οἰκονομικῶς περιετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει.....τὸ αἰσθητὸν τοῦ ἀνθρώπου μέρος διαλαμβάνουσα, αὐτῆς δὲ τῆς θείας εἰκόνος οὐ προσαπτομένη.

τὴν τοῦ τάξαντος οἰκονομίαν συνωθουμένην, κἂν προσλάβῃ τὴν ἐκ τοῦ λουτροῦ χάριν, κἂν ἄμοιρος μείνῃ τῆς τοιαύτης μυήσεως· ἀλλὰ τὴν ἐπὶ τὸ μακάριόν τε καὶ θεῖον καὶ πάσης κατηφείας κεχωρισμένον ἀποκατάστασιν. οὐ γὰρ ὅσα δι' ἀναστάσεως τὴν ἐπὶ τὸ εἶναι πάλιν ἐπάνοδον δέχεται, πρὸς τὸν αὐτὸν ἐπάνεισι βίον, ἀλλὰ πολὺ τὸ μέσον τῶν τε κεκαθαρμένων καὶ τῶν τοῦ καθαρσίου προσδεομένων ἐστίν. ἐφ' ὧν γὰρ κατὰ τὸν βίον τοῦτον ἡ διὰ τοῦ λουτροῦ προκαθηγήσατο κάθαρσις, πρὸς τὸ συγγενὲς τούτοις ἡ ἀναχώρησις ἔσται· τῷ δὲ καθαρῷ τὸ ἀπαθὲς προσῳκείωται, ἐν δὲ τῇ ἀπαθείᾳ τὸ μακάριον εἶναι οὐκ ἀμφιβάλλεται. οἷς δὲ προσεπωρώθη τὰ πάθη καὶ οὐδὲν προσήχθη τῆς κηλίδος καθάρσιον, οὐχ ὕδωρ μυστικόν, οὐκ ἐπίκλησις θείας δυνάμεως, οὐχ ἡ ἐκ μετα-
15 μελείας διόρθωσις, ἀνάγκη πᾶσα καὶ τούτους ἐν τῷ καταλλήλῳ γενέσθαι. κατάλληλον δὲ τῷ κεκιβδηλευ-

2 την] τινα f || 3 μιμησεως d || 4 κεχωρισμενον] απηλλαγμενην f[1] || 9 om του f || 10 συγγενες] + ηδη f || om η l* vulg || 13 προηχθη l* vulg || 15 ορθωσις l* vulg || 16 το κεκιβδηλευμενον χρυσιον f*

3. μυήσεως] Cp. *antea* c. 33 μυηθεῖσι (note).

4. κατηφείας] Cp. James iv 9 (with Mayor's note).

5. ἐπὶ τὸ εἶναι] For this use of εἶναι cp. c. 32 μηδὲν ἐμπόδιον πρὸς τὸ εἶναι ποιήσασθαι.

6. τὸ μέσον] Cp. c. 6 πολλῷ τῷ μέσῳ, and c. 32 μηδενὶ μέσῳ.

7. καθαρσίου] Cp. *antea* c. 27 τῷ καθαρσίῳ (note).

9. πρὸς τὸ συγγενές] explained in what follows as τὸ ἀπαθές. Those who have been purified by baptism enter upon a life congenial (συγγενές) to their state. The appropriate state (προσῳκείωται) for the pure is freedom from passion. In c. 6 Gr. speaks of man as originally ἀπαθὴς τὴν φύσιν. Man's nature first became ἐμπαθής through the Fall. Cp. *de An. et Res.* p. 148 (Migne), where he also says πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα οὐκέτι τοῖς ἑπακολουθοῦσι τῆς κακίας συνενεχθήσεται.

12. προσεπωρώθη] Cp. c. 8 ἐπιπωροῦται (note). '*But those whose natures have become crusted over with their passions.*' The idea is that the passions have formed a covering or crust upon the heart. Cp. Rom. xi 7 (with Sanday and Headlam's note) and 2 Cor. iii 14.

13. ὕδωρ μυστικόν] 'sacramental water.' Cp. c. 34 τῆς μυστικῆς ταύτης οἰκονομίας (note).

15. διόρθωσις] 'amendment,' 'reform' of life, resulting from penitence.

ib. ἐν τῷ καταλλήλῳ γεν.] '*should be in their appropriate place.*'

16. κατάλληλον] The appropriate place for gold which is adulterated

μένῳ χρυσίῳ τὸ χωνευτήριον, ὡς τῆς ἐμμιχθείσης αὐτοῖς κακίας ἀποτακείσης μακροῖς ὕστερον αἰῶσι καθαρὰν ἀποσωθῆναι τῷ θεῷ τὴν φύσιν. ἐπεὶ οὖν ῥυπτική τίς ἐστι δύναμις ἐν τῷ πυρὶ καὶ τῷ ὕδατι, οἱ διὰ τοῦ ὕδατος τοῦ μυστικοῦ τὸν τῆς κακίας ῥύπον ἀποκλυσάμενοι τοῦ ἑτέρου τῶν καθαρσίων εἴδους οὐκ ἐπιδέονται· οἱ δὲ ταύτης ἀμύητοι τῆς καθάρσεως ἀναγκαίως τῷ πυρὶ καθαρίζονται.

36. Μὴ γὰρ εἶναι δυνατὸν ὅ τε κοινὸς δείκνυσι λόγος καὶ ἡ τῶν γραφῶν διδασκαλία ἐντὸς τοῦ θείου γενέσθαι χοροῦ τὸν μὴ καθαρῶς πάντας τοὺς ἐκ κακίας σπίλους ἀπορρυψάμενον. τοῦτό ἐστιν ὃ μικρὸν ὂν καθ' ἑαυτὸ μεγάλων ἀγαθῶν ἀρχή τε καὶ ὑπόθεσις γίνεται. μικρὸν

1 ως] ωστε gl[1] || 2 om καθαραν d || 8 καθαριζονται] παραδιδονται f **36.** 11 τον] το n || εκ της κακιας f

is the refiner's furnace. For the idea see c. 26 (notes). Gr. is speaking of a purification which follows the resurrection, not of a purgatory in some intermediate state between death and the resurrection. The κάθαρσις of which he speaks refers only to those who have not passed through the waters of baptism. He nowhere states that the baptized person has to enter the χωνευτήριον. For the source of the idea see the passage of Origen quoted in the notes on c. 26. Other passages in Gr. dealing with the subject are *de An. et Res.* pp. 100, 152, 157, 160 (Migne), *de Mortuis* p. 524 (Migne).

1. χωνευτήριον] 'a smelting furnace.' The word is used of the refiner's furnace in Malachi iii 2 (LXX), a passage which was probably in Gr.'s mind.

2. μακροῖς ὅστ. αἰῶσι] Cp. c. 26 ταῖς μακραῖς περιόδοις (note).

3. ἀποσωθῆναι] Cp. c. 26. See further *Or. in illud Tunc ipse filius* (of doubtful authorship) p. 1316 (Migne) and passages quoted *supra*.

36. *A complete purification from the stains of sin is necessary before man can enter the company of the blessed. The means of effecting this provided by baptism may seem insignificant and easy of performance. The efficacy of baptism however depends on the immanence of God, His special presence when invoked, and His activity in succouring the needy. The means by which baptism is effected is faith and water. The one is within the power of our wills, the other is an element closely connected with human life. The blessing which results from baptism is nothing less than kinship with God.*

9. κοινὸς...λόγος] 'the general reason' of mankind, '*common sense*.' Cp. c. 5 τῶν κοινῶν ἐννοιῶν.

10–11. θείου...χοροῦ] i.e. the company of the blessed.

13. ἀρχή τ. κ. ὑπόθεσις] Cp. c. 6 ἡ ἀπάθεια τῆς κατ' ἀρετὴν ζωῆς ἀρχὴ καὶ ὑπόθεσις γίνεται (note).

δέ φημι τῇ εὐκολίᾳ τοῦ κατορθώματος. τίς γὰρ πάρεστι πόνος τῷ πράγματι, πιστεῦσαι πανταχοῦ τὸν θεὸν εἶναι, ἐν πᾶσι δὲ ὄντα, παρεῖναι καὶ τοῖς ἐπικαλουμένοις τὴν ζωτικὴν αὐτοῦ δύναμιν, παρόντα δὲ τὸ οἰκεῖον ποιεῖν; ἴδιον δὲ τῆς θείας ἐνεργείας ἡ τῶν δεομένων ἐστὶ σωτηρία. αὕτη δὲ διὰ τῆς ἐν ὕδατι καθάρσεως ἐνεργὸς γίνεται. ὁ δὲ καθαρθεὶς ἐν μετουσίᾳ τῆς καθαρότητος ἔσται, τὸ δὲ ἀληθῶς καθαρὸν ἡ θεότης ἐστίν. ὁρᾷς ὅπως μικρόν τι τὸ κατὰ τὴν ἀρχήν ἐστι καὶ εὐκατόρθωτον, πίστις καὶ ὕδωρ, ἡ μὲν ἐντὸς τῆς προαιρέσεως ἡμῶν ἀποκειμένη, τὸ δὲ σύντροφον τῇ ἀνθρωπίνῃ ζωῇ. ἀλλὰ τὸ ἐκ τούτων ἀναφυόμενον ἀγαθὸν ὅσον καὶ οἷον, ὡς πρὸς αὐτὸ τὸ θεῖον ἔχειν τὴν οἰκειότητα.

3 εν τοις επι. f || 7 καθαρισθεις l vulg

1. κατορθώματος] Cp. c. 35 κατόρθωμα (note). '*I call it small owing to the ease with which it is successfully done.*' Cp. εὐκατόρθωτον *infra*.

ib. τίς γάρ] There can be no difficulty, Gr. maintains, for the baptized person in believing that God is present in the baptismal rite. In what follows he summarizes the arguments of cc. 33, 34.

4. τὸ οἰκεῖον] '*that which befits His character*,' explained in what follows as ἡ τῶν δεομένων σωτηρία. Gr. has used the same argument before. Cp. c. 27 ἐν πρέπον ἐστὶ τῷ θεῷ τὸ εὐεργετεῖν τὸν δεόμενον.

6. αὕτη] sc. ἡ σωτηρία. The purification effected in Baptism is the means by which the convert enters upon a state of σωτηρία. This σωτηρία is defined below as πρὸς αὐτὸ τὸ θεῖον ἔχειν τὴν οἰκειότητα. The process is of course only ideally complete in baptism. Hence Gr. uses ἔσται, not ἐστίν, in the next sentence.

9. εὐκατόρθωτον] '*easily effected*.' Cp. *supra* τῇ εὐκολίᾳ τοῦ κατορθώματος.

10. τὸ δὲ σύντροφον] '*while the other is intimately associated with man's life*.' For σύντροφος cp. c. 23 πρὸς τὸ σύντροφόν τε καὶ συγγενὲς αὑτῷ βλέπων. For the idea cp. *in Bapt. Christi* p. 581 B (Migne) σύνθετος ὁ ἄνθρωπος, καὶ οὐχ ἁπλοῦς ...καὶ διὰ τοῦτο τῷ διπλῷ καὶ συνεζευγμένῳ τὰ συγγενῆ καὶ ὅμοια φάρμακα πρὸς θεραπείαν ἀπεκληρώθη· σώματι μὲν τῷ φαινομένῳ, ὕδωρ τὸ αἰσθητόν· ψυχῇ δὲ τῇ ἀοράτῳ, Πνεῦμα τὸ ἀφανές, πίστει καλούμενον, ἀρρήτως παραγινόμενον.

37. Ἀλλ' ἐπειδὴ διπλοῦν τὸ ἀνθρώπινον, ψυχῇ τε καὶ σώματι συγκεκραμένον, δι' ἀμφοτέρων ἀνάγκη τοῦ πρὸς τὴν ζωὴν καθηγουμένου τοὺς σωζομένους ἐφάπτεσθαι. οὐκοῦν ἡ ψυχὴ μὲν διὰ πίστεως πρὸς αὐτὸν ἀνακραθεῖσα

37. 2–3 αναγκη...δι αμφοτερων τους σωζ. vulg || τω...καθηγουμενω l vulg || 3 εφεπεσθαι fl* vulg

ii. Chap. XXXVII. On the Eucharist.

37. *In Baptism the soul is knit to God by faith. But the body too needs grace. The means by which the body is brought into union with the Author of salvation is the Eucharist. The antidote to the poison which has corrupted the body must, like the poison which it counteracts, be distributed through the body. Thus it is that the Body of Christ which was made immortal by God enters into our body and wholly transforms it. The means by which this is effected is eating and drinking. But how can the one body be given whole to thousands of believers? A study of the nature of the body supplies an answer. The human body retains its bulk by the continual influx of nourishment. Food and drink become the 'body' and 'blood' of man. The Word of God Himself, when on earth, received nourishment from bread and wine, while His Body also by its union with the Word was raised to the dignity of Godhead. In like manner the bread which is consecrated by the Word of God is transformed, no longer by eating, but immediately, into His Body by the Word. In the same way we may explain how the wine becomes the Blood of Christ. Thus He plants Himself in the bodies of the faithful that they may partake of incorruption.* Gr.'s treatment of the Eucharist should be compared with the contemporary language of Ambrose *de Myst.* cc. viii—ix, and with the later teaching of John of Damascus *de Fid. Orth.* iv 13, which shews clear traces of the influence of this chapter. For a discussion of the language of the present chapter see Harnack *Hist. of Dogma* (Eng. tr.) vol. iv pp. 294 ff. Cp. also Schwane *Dogmengesch.* vol. ii pp. 780 ff., Neander *Ch. Hist.* (Bohn) iv 438 ff. Other passages in which Gr. refers to the Eucharist are *in Bapt. Christi* p. 581 (Migne), *in Chr. resurr. Or.* i p. 612 (Migne), *de Vita Moysis* p. 368 (Migne), *de perf. Christi* p. 268 (Migne).

1. ἀλλ' ἐπειδὴ διπλ.] In the preceding chapters Gr. has shewn the efficacy of baptism as a cleansing of the soul from sin. He now proceeds to discuss the provision made for the redemption of the body.

3. ἐφάπτεσθαι] '*lay hold of.*' This reading is preferable to the reading τῷ...καθηγουμένῳ...ἐφέπεσθαι which is found in *f.* Fronto Ducaeus cites Chrys. *Hom.* 82 (83) *in Matt.* T. vii p. 787 D (ed. Montfaucon) εἰ μὲν γὰρ ἀσώματος εἶ, γυμνὰ ἂν αὐτά σοι τὰ ἀσώματα παρέδωκε δῶρα· ἐπεὶ δὲ σώματι συμπέπλεκται ἡ ψυχή, ἐν αἰσθητοῖς τὰ νοητά σοι παραδίδωσι.

4. ἀνακραθεῖσα] Cp. c. 11 κατακιρνᾶται and *ibid.* ἀνακράσεως (notes).

τὰς ἀφορμὰς ἐντεῦθεν τῆς σωτηρίας ἔχει· ἡ γὰρ πρὸς τὴν ζωὴν ἕνωσις τὴν τῆς ζωῆς κοινωνίαν ἔχει· τὸ δὲ σῶμα ἕτερον τρόπον ἐν μετουσίᾳ τε καὶ ἀνακράσει τοῦ σώζοντος γίνεται. ὥσπερ γὰρ οἱ δηλητήριον δι' ἐπιβουλῆς λαβόντες ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν, χρὴ δὲ καθ' ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξητήριον ἐντὸς τῶν ἀνθρωπίνων γενέσθαι σπλάγχνων, ὡς ἂν δι' ἐκείνων ἐφ' ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις, οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι πάλιν ἀναγκαίως καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπεδεήθημεν, ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξητήριον τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. τί οὖν ἐστι τοῦτο; οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα ὃ τοῦ τε

2 ενωσις] γνωσις f ‖ 4 ωσπερ] exstant seqq in euth 3457 ‖ 6 om και f ‖ αλεξιτηριον euth 7 vulg αλξιτηριον e ‖ 6–7 εν τοις των ανθρωπων γενεσθαι σπλαγχνοις f ‖ 8 μερισθειη d ‖ 10 αναγκαιον ως l^{*vid} vulg ‖ 11 αλεξιτηριον hl euth 7 vulg αλξιφαρμακον e

2. *τὸ δὲ σῶμα*] The antithesis suggests that the Eucharist is regarded mainly as a principle of life for the body. For the view held as to the effects of the Eucharist on the body see Iren. *adv. Haer.* iv 18. 4, Cyril of Jer. *C. M.* iv 1, 3, v 9, 15. A similar view may possibly be implied in Ign. *Eph.* 20 *ἕνα ἄρτον κλῶντες, ὅ ἐστιν φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν κ.τ.λ.* The starting point of such language is Jn vi 54, 58.

4. *ὥσπερ γάρ*] The remainder of the chapter is reproduced in Euthym. Zig. *Pan. Dogm.* Tit. xxv pp. 1262 ff. (Migne), and in *Theoriani disputatio cum Nersete* (Mai *Script. Vett.* vi 366 sq.).

ib. δηλητήριον] Gr. has used the same illustration in a different connexion in c. 26.

ib. δι' ἐπιβουλῆς] Cp. *ὁ ἐπιβουλεύων* c. 26.

5. *ἔσβεσαν*] a gnomic aorist.

7. *σπλάγχνων*] 'the vital organs' of the body of man.

ib. δι' ἐκείνων] i.e. *τῶν σπλάγχνων*. The antidote is distributed by means of the vital organs throughout the whole body.

9. *τοῦ διαλύοντος τὴν φύσιν*] i.e. *τοῦ θανάτου*. Cp. *de Hom. Opif.* c. 20 *ἡ δὲ βρῶσις ἐκείνη θανάτου μήτηρ τοῖς ἀνθρώποις γέγονεν*. The ref. in *ἀπογευσάμενοι* is to the story in Genesis iii. On the dissolution of human nature resulting from the Fall see c. 8.

11–13. *ὡς...ἀπώσοιτο*] For this use of the *fut. opt.* in a final clause see Goodwin *Greek Moods* p. 39.

12. *προεντεθεῖσαν*] '*the mischief already introduced into the body by the deadly drug.*'

13. *ἀντιπαθείας*] 'the reaction' of the antidote upon the poison.

θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῖν κατήρξατο. καθάπερ γὰρ μικρὰ ζύμη, καθώς φησιν ὁ ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν ἐξομοιοῖ, οὕτως τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. ὡς γὰρ τῷ φθοροποιῷ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντι ἅπαν τὸ ἀνακραθὲν συνηχρείωται, οὕτως καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον πρὸς τὴν ἑαυτοῦ φύσιν καὶ τὸ πᾶν μετεποίησεν. ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τι γενέσθαι

1 ημων ehl euth 457 vulg || προκατηρξατο euth 345 || 3 αυτην e || συνεξομοιοι eghlp || θανατισθεν 1* vulg αποθανατισθεν f || 4 om του f || 5–6 του φθοροποιου...αναμιχθεντος l vulg || 6 συνηχρειωθη fg¹ || 8 om και euth || 9 γινεσθαι fl γιγν- vulg

1. κατήρξατο] '*became the source of life.*'

2. ὁ ἀπόστολος] 1 Cor. v 6. For ζυμοῖ Gr. substitutes πρὸς ἑαυτὴν ἐξομοιοῖ, 'assimilates to itself.'

3. ἀθανατισθέν] For the idea cp. *infra* ὁ δὲ φανερωθεὶς θεὸς διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον. Prob. in both passages the main benefit which Gr. connects with the Eucharist is that of immortality. Cp. Ign. *Eph.* 20 (quoted above). See further note on συναποθεωθείσης c. 35.

5. μεταποιεῖ] '*transmutes and translates.*' On Gr.'s use in the present chapter of the words μεταποιεῖν, μετατιθέναι, μεθιστάναι, and μεταστοιχειοῦν see Pusey *Doctr. of Real Presence from the Fathers* p. 162 ff. Μεταποιεῖν is used (1) in the present passage and in the following sentence of the transformation of our bodies by union with the immortal Body of Christ: (2) of the transformation of the Lord's human Body to a Divine dignity by the indwelling of the Word. See *infra* τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς τὴν θεικὴν ἀξίαν μετεποιήθη: (3) of the assimilation of bread by our Lord to His human Body, *infra* ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος: (4) of the sacramental change of the elements, *infra* τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν, and again ὁ ἄρτος...εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου μεταποιούμενος: (5) of the transmutation of the wine in our bodies into heat, *infra*: (6) of the change effected by baptism in the regenerate. Cp. c. 40. This variety of usage forbids us to attach to the word any particular idea of the kind of change denoted. The context alone must decide its force in each case.

ib. μετατίθησιν] used here as practically a synonym of μεταποιεῖν.

ib. ὡς γάρ] '*for as when a deadly drug is mixed with a healthy body, the whole of what is mingled with it becomes as worthless as the drug.*' Gr. returns to his illustration. The *dat.* is governed by the σύν in συνηχρ. Τὸ ἀνακρ. is the body which has assimilated the drug. Gr.'s point is that as the deadly drug affects the whole body into which it is infused, so the immortal Body affects the whole body of him who receives it.

9. ἀλλὰ μήν] The remedy for

τοῦ σώματος, μὴ διὰ βρώσεως καὶ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τῷ σώματι δέξασθαι. μόνου δὲ τοῦ θεοδόχου σώματος ἐκείνου ταύτην δεξαμένου τὴν χάριν, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γινόμενον, σκοπῆσαι προσήκει, πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα ταῖς τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰς ἀεὶ καταμεριζόμενον ὅλον ἑκάστου διὰ τοῦ μέρους γίνεσθαι καὶ αὐτὸ μένειν ἐφ' ἑαυτοῦ ὅλον. οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα

1 και] η deghnp euth 35 || 3 τω σωματι] του πνευματος l vulg || 4 μονον vulg || 6 ει μη l vulg || 7 γενομενον eg^{1}l || 8 εν εκεινω g^{1} || 10 οικουμενην] desunt seqq in f || μεριζομενον g* || εν εκαστω g^{1}l vulg || 11 γενεσθαι l euth 5 vulg || εαυτω euth εαυτο g*p

the body can only be applied to it, Gr. argues, through the processes of eating and drinking.

2. *κατὰ τ. δ....τρόπον*] i.e. *διὰ βρώσεως καὶ πόσεως.*

3. *τῷ σώματι*] dependent on *ἐπάναγκες*, 'necessary for the body.'

4. *ταύτην...τ. χάριν*] i.e. *τὴν ζ. δύναμιν.* Cp. *supra ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῖν κατήρξατο.*

8. *πῶς ἐγένετο*] Gr. asks how it was possible for the one Body of Christ to become in its entirety the possession of multitudes of believers through the portion received by each, and yet remain an undivided whole. His subsequent treatment of the Eucharist is intended as an answer to this question, and is accordingly limited in its scope.

10. *ἑκάστου*] The MSS are divided between *ἐν ἑκάστῳ* and *ἑκάστου.* The former is probably a correction. With *ἐν ἑκάστῳ* translate 'enters whole into each recipient through the part given.' For the phrase *γίγνεσθαι ἐν* cp. *antea* c. 1 p. 9 (note). With *ἑκάστου* translate '*becomes in its entirety the possession of each recipient through the portion received.*' Similarly Zinus, the Latin interpreter of Euthymius (ed. 1555), translates 'totum cuiusque per partem evadat.' Gr.'s idea appears to be that, as the Body of Christ is one and undivided, the recipient, although he receives only a portion, becomes through that portion possessor of the whole. There is no idea, as in some later discussions, that 'totus Christus' is present under each species, and under each particle of the species of bread and wine. See Franzelin *de SS. Eucharistia* pp. 155 sq.

11. *μένειν ἐφ' ἑαυτοῦ*] For the constr. *μένειν ἐπί τινος* cp. c. 39 *ἐπὶ τῆς τελειότητος τοῦ ἀγαθοῦ μένον ἀεί.*

12. *πρὸς τὸ ἀκόλουθον*] '*with a view to logical consistency.*' The question which Gr. has just been propounding seems to involve a contradiction in terms.

μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχοι, μικρόν τι προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν τοῦ σώματος. τίς γὰρ οὐκ οἶδεν ὅτι ἡ τοῦ σώματος ἡμῶν φύσις αὐτὴ καθ' ἑαυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει ζωὴν οὐκ ἔχει, ἀλλὰ διὰ τῆς ἐπιρρεούσης αὐτῇ δυνάμεως συνέχει τε ἑαυτὴν καὶ ἐν τῷ εἶναι μένει, ἀπαύστῳ κινήσει τό τε λεῖπον πρὸς ἑαυτὴν ἐφελκομένη καὶ τὸ περιττεῦον ἀπωθουμένη; καὶ ὥσπερ τις ἀσκὸς ὑγροῦ τινὸς πλήρης ὤν, εἰ κατὰ τὸν πυθμένα τὸ ἐγκείμενον ὑπεξίοι, οὐκ ἂν φυλάσσοι τὸ περὶ τὸν ὄγκον ἑαυτοῦ σχῆμα, μὴ ἀντεισιόντος ἄνωθεν ἑτέρου πρὸς τὸ κενούμενον, ὥστε τὸν ὁρῶντα τὴν ὀγκώδη τοῦ ἀγγείου τούτου περιοχὴν εἰδέναι μὴ ἰδίαν εἶναι τοῦ φαινομένου, ἀλλὰ τὸ εἰσρέον ἐν αὐτῷ γινόμενον σχηματίζειν τὸ περιέχον τὸν ὄγκον· οὕτω καὶ ἡ τοῦ σώματος ἡμῶν κατασκευὴ ἴδιον

6 αυτην e euth 3 || 8 απωθουμενη] desunt seqq in euth 3457 || 10 φυλασσει dp φυλασσοιτο h

1. τοῦ πρ. νοήματος] *'the subject proposed for our thought.'*

2. παρασχολῆσαι] lit. 'to busy oneself by the way.' *'It is fitting that our argument should turn aside for a moment to discuss the physiology of the body.'*

ib. τὴν φυσιολογίαν] Cp. Arist. *de Sens.* c. 4 ἐν τῇ φυσιολογίᾳ τῇ περὶ τῶν φυτῶν. For Aristotle's doctrine of nutrition and growth see *de Anima* ii 4, *de Gen. et Corr.* i 5, *de Part. Animalium* ii 3. The importance of the following illustration for Gr.'s argument consists in the idea that bread and wine are *potentially* flesh and blood, and become so *actually* by the processes of eating and drinking and digestion.

4. ὑποστάσει] Cp. c. 1 οὐδὲ ἐν ὑποστάσει πάντως ἐστίν (note).

5. ἐπιρρεούσης] Cp. *antea* c. 16 ἡ διὰ τοῦ ἐπιρρύτου τε καὶ ἀπορρύτου τῆς τροφῆς τοῦ ὑποκειμένου διαμονή.

6. συνέχει...ἑαυτήν] *'maintains itself.'* Cp. c. 5 p. 22 συνεκτική (note).

8. ὥσπερ] *'just as a leathern bottle full of some liquid, if its contents were to leak out at the bottom, would not preserve its own shape around the mass, unless there entered into it other liquid from above to fill up the void, so that he who sees the rounded circumference of this vessel knows that it does not belong to what he sees, but that it is the liquid flowing into it and occupying it which gives shape to the thing containing the mass.'*

15. ἴδιον] is a tertiary predicate. *'Has nothing that we can recognize of its own to maintain itself by.'* That which maintains the body, coming as it does from without, cannot be said to belong to (ἴδιον) the body. Γνώριμον refers to that which the senses perceive. He is thinking specially of the shape and bulk referred to in his illustration.

μὲν πρὸς τὴν ἑαυτῆς σύστασιν οὐδὲν ἡμῖν γνώριμον ἔχει, διὰ δὲ τῆς ἐπεισαγομένης δυνάμεως ἐν τῷ εἶναι μένει. ἡ δὲ δύναμις αὕτη τροφὴ καὶ ἔστι καὶ λέγεται. ἔστι δὲ οὐχ ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις σώμασιν, ἀλλά τις ἑκάστῳ κατάλληλος παρὰ τοῦ τὴν φύσιν οἰκονομοῦντος ἀποκεκλήρωται. τὰ μὲν γὰρ τῶν ζῴων ῥιζωρυχοῦντα τρέφεται, ἑτέροις ἐστὶν ἡ πόα τρόφιμος, τινῶν δὲ ἡ τροφὴ σάρκες εἰσίν, ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον ἄρτος. καὶ εἰς τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν πότον γίνεται οὐκ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ' οἶνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ θερμοῦ τοῦ ἐν ἡμῖν συμμαχίαν. οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει· ἐν ἐμοὶ γὰρ ἐκεῖνα γενόμενα αἷμα καὶ σῶμα γίνεται, καταλλήλως διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως πρὸς τὸ τοῦ σώματος εἶδος τῆς τροφῆς

3 η δε δυν.] rursus incipit euth ‖ εστι δε] ετι δε vulg ‖ 6 ριζορυχουντα dg*lp ριζωορυχουντα g¹ ‖ 12 ουκουν] ουκ αν dgp ‖ 14 αιμα και σωμα] εγω l

5. κατάλληλος] Cp. c. 5 καταλλήλως ἕκαστον τῷ τῆς ζωῆς εἴδει κατεσκεύασται.

6. ῥιζωρυχοῦντα] '*by digging up roots.*'

7. τινῶν δέ] The fragment of this chapter preserved in Mai *Script. Vett.* vi 366 reads κυνός for τινῶν.

9. τοῦ ὑγροῦ] i.e. the element of moisture in the human body.

11. τ. θερμοῦ] Wine is a means of supplementing the natural heat of the body. See *infra*.

12. δυνάμει] '*virtually.*' Used here in its Aristotelian sense as opposed to ἐνεργείᾳ. Similarly below Gr. says of the human Body of Christ ἐκεῖνο τὸ σῶμα ἄρτος τῇ δυνάμει ἦν.

14. καταλλήλως] 'respectively,' i.e. solid food becoming flesh, while liquid passes into blood.

ib. ἀλλοιωτικῆς δ.] the body's 'power of assimilating or digesting' food. Cp. Theodoret *in Ionam* c. 2 καὶ ἡ ἀλλοιωτικὴ δύναμις τῆς γαστρὸς ἐνεργεῖν ἐκωλύετο. Ἀλλοίωσις freq. denotes 'change of quality or affection.' See Arist. *de Gen. et Corr.* i 4, where it is defined in the words ὅταν ὑπομένοντος τοῦ ὑποκειμένου, αἰσθητοῦ ὄντος, μεταβάλλῃ ἐν τοῖς αὐτοῦ πάθεσιν.

15. πρὸς τ. τ. σ. εἶδος] '*the food being changed into the form of the body.*' In using εἶδος here Gr. appears to have in mind the distinction between the 'form' of matter and its 'substance.' There is a passage in the *de Hom. Opif.* c. 27, which throws light upon the ideas which lie in the background of this passage. In that chapter Gr. is discussing the resurrection of the body. In spite of the continual flux going on in the body, its εἶδος remains unchanged, τῶν ἅπαξ ἐπιβληθέντων αὐτῷ παρὰ τῆς φύσεως σημείων οὐκ ἐξιστάμενον, ἀλλὰ πά-

μεθισταμένης. τούτων ἡμῖν τοῦτον διευκρινηθέντων τὸν τρόπον ἐπανακτέον πάλιν πρὸς τὰ προκείμενα τὴν διανοίαν. ἐζητεῖτο γὰρ πῶς τὸ ἓν ἐκεῖνο σῶμα τοῦ Χριστοῦ πᾶσαν ζωοποιεῖ τὴν τῶν ἀνθρώπων φύσιν, ἐν ὅσοις ἡ πίστις ἐστί, πρὸς πάντας μεριζόμενον καὶ αὐτὸ οὐ μειούμενον. τάχα τοίνυν ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ

1 καθισταμενης l^{*vid} vulg ‖ 3 εν εκεινω l^{1} vulg

σαις ταῖς κατὰ τὸ σῶμα τροπαῖς μετὰ τῶν ἰδίων ἐμφαινόμενον γνωρισμάτων. In the same chapter Gr. discusses the relation of the εἶδος to the στοιχεῖα, and after stating that τὰς κατὰ τὸ εἶδος διαφορὰς αἱ ποιαὶ τῆς κράσεως παραλλαγαὶ μεταμορφοῦσιν, he proceeds: ἡ δὲ κρᾶσις οὐκ ἄλλη τις παρὰ τὴν τῶν στοιχείων μῖξιν ἐστί, στοιχεῖα δέ φαμεν τὰ τῇ κατασκευῇ τοῦ παντὸς ὑποκείμενα, δι' ὧν καὶ τὸ ἀνθρώπινον συνέστηκε σῶμα, ἀναγκαίως τοῦ εἴδους οἷον ἐκμαγείῳ σφραγῖδος τῇ ψυχῇ παραμείναντος, οὐδὲ τὰ ἐναπομαξάμενα τῇ σφραγῖδι τὸν τύπον ὑπ' αὐτῆς ἀγνοεῖται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἀναστοιχειώσεως ἐκεῖνα δέχεται πάλιν πρὸς ἑαυτήν, ἅπερ ἂν ἐναρμόσῃ τῷ τύπῳ τοῦ εἴδους· ἐναρμόσειε δὲ πάντως ἐκεῖνα, ὅσα κατ' ἀρχῆς ἐνετυπώθη τῷ εἴδει. The whole passage is important as throwing light upon Gr.'s language throughout the present chapter. In the parallel passage below (τῆς τροφῆς... πρὸς τὴν τ. σ. φύσιν μεθισταμένης) Gr. describes the change of the elements of food as a change of φύσις, where φύσις denotes the sum of the qualities, which are the γνωρίσματα of the εἶδος. Ambrose, in his discussion of the change of the Eucharistic elements uses both 'species' and 'natura.' See *de Myst.* ix § 52 non valebit Christi sermo ut species mutet elementorum?...non enim minus est novas rebus dare quam mutare naturas. Thus the idea of the whole clause is that the στοιχεῖα of the food have a new 'form' imposed upon them so that they become the body.

1. μεθισταμένης] Like the preceding word μεταποιεῖν, μεθιστάναι is used by Gr. in a variety of senses. (1) Here and *infra* p. 148 it is used of the transformation of food into body. (2) In the words *infra* ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θείαν μετέστη δύναμιν it is used of the change of bread in the Lord's human body to Divine power. (3) In cc. 39, 40 μετάστασις is used of the moral change effected in the regenerate.

ib. διευκριν.] '*after this thorough analysis.*' Τὰ προκ. 'the subject of our enquiry,' which he re-states in the next sentence.

3–4. πᾶσαν...τ. τ. ἀνθ. φύσιν] i.e. 'all mankind,' rather than 'the whole nature of man,' body as well as soul, since acc. to Gr. the Eucharist is specially intended for the body, and he would scarcely introduce a further thought at this point.

6. τ. εἰκ. λόγου] '*the probable account of the matter.*' Gr. is conscious of the tentative character of his explanation (τάχα).

ib. εἰ γάρ] The protasis is continued through the following series of clauses, and again taken up by ὥσπερ τοίνυν. The apodosis begins with οὕτω κἀκεῖ.

βρῶσις καὶ πόσις ἐστίν, ἔστι δὲ ἐν τῇ βρώσει ἄρτος, ἐν δὲ τῇ πόσει τὸ ὕδωρ ἐφηδυσμένου τῷ οἴνῳ, ὁ δὲ τοῦ θεοῦ λόγος, καθὼς ἐν τοῖς πρώτοις διῄρηται, ὁ καὶ θεὸς ὢν καὶ λόγος, τῇ ἀνθρωπίνῃ συνανεκράθη φύσει καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος οὐκ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ φύσει τὴν σύστασιν, ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ' ἑαυτὸν σώματι τὴν διαμονήν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν, ἡ δὲ βρῶσις ἄρτος ἦν· ὥσπερ τοίνυν ἐφ' ἡμῶν, καθὼς ἤδη πολλάκις εἴρηται, ὁ τὸν ἄρτον ἰδὼν τρόπον τινὰ τὸ σῶμα τὸ ἀνθρώπινον βλέπει, ὅτι ἐν τούτῳ ἐκεῖνο γινόμενον τοῦτο γίνεται, οὕτω κἀκεῖ τὸ θεοδόχον σῶμα τὴν τροφὴν τοῦ ἄρτου παραδεξάμενον λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης· τὸ γὰρ πάντων ἴδιον καὶ ἐπ' ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ κἀκεῖνο τὸ σῶμα διεκρατεῖτο,

1 εν]+μεν euth || 2 εφηδυνομενον $g^{1}l^{1}$ || 4 συνεκραθη l euth 5 vulg ανεκραθη euth 4 || 6 ανθρωπινη φυσει l vulg || 9 om τοινυν euth || 10 om πολλακις euth || 11 ανθρωπινον βλεπει σωμα l: rursus incipit f || εκεινος euth 345 || γενομενος euth 345 γενομενον dghnp euth 7

1. ἐν τῇ β.] lit. 'included under the head of food is bread.'

4. συνανεκράθη] Cp. c. 11 ἀνακράσεως (note).

5. παρεκαινοτόμησε] The idea of καινοτομεῖν is that of opening up fresh ground, e.g. the cutting into fresh veins in a mine. Thus it comes to be used of any innovation. '*Did not invent some different composition for human nature.*'

6. συν. τ. κ. καταλλ.] '*by the usual and appropriate means.*' The thought and much of the language of the following passage is reproduced in John Damasc. *F. O.* iv 13.

8. περικρατῶν τ. ὑπ.] '*maintaining*' (or '*holding fast*') *its substance.*' Περικρατῶν is used like διεκρατεῖτο below.

11. ἐν τούτῳ] refers, as also does the following τοῦτο, to σῶμα. Ἐκεῖνο=ὁ ἄρτος.

13. λόγῳ τινί] '*in a manner.*'

ib. τῆς τροφῆς κ.τ.λ.] Cp. *supra*, where, however, Gr. uses εἶδος instead of φύσιν, which here refers to the natural qualities or properties of body. The change effected by the rearrangement of the στοιχεῖα of the food, so as to form 'body,' resulted in the acquisition of new properties or qualities. Cf. *supra*, notes on ἀλλοιωτικῆς and εἶδος.

15. τὸ γὰρ πάντων] '*for that which is characteristic of all men was admitted in the case of that flesh also, that that body too was maintained by bread.*'

τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς τὴν θεικὴν ἀξίαν μετεποιήθη. καλῶς οὖν καὶ νῦν τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν. καὶ γὰρ ἐκεῖνο τὸ σῶμα ἄρτος τῇ δυνάμει ἦν, ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί. οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται. ἐκεῖ τε γὰρ ἡ τοῦ λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ ἄρτος ἦν· ἐν- ταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθὼς φησιν ὁ ἀπόστολος,

3 αγιαζομενον] μεταποιουμενον f || om λογου f || 4 πιστευομαι vulg || 5 σκηνωσει d || 6 om οθεν df || 9 εποιειτο σωμα l^{*vid} vulg || 10 αυτος f

1. τὸ δὲ σῶμα] A further step in the argument. Not only did bread become the Lord's Body, but that Body itself was transmuted by the indwelling of the Word to the dignity of Godhead. This additional thought is further developed below in the words οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ κ.τ.λ.

ib. θεικὴν ἀξ.] Cp. c. 35 τῆς ἀναληφθείσης παρ' αὐτοῦ καὶ συναποθεωθείσης σαρκός (note).

2. τῷ λόγῳ] Gr. has in mind the passage 1 Tim. iv 5, which he quotes below. In τῷ λόγῳ τ. θ. here, as also in διὰ λόγου θεοῦ in the quotation from St Paul, Gr. intends his readers to see a reference to the personal Word, to which he also refers below in the words διὰ τοῦ λόγου μεταποιούμενος. This is shown by the parallel which he draws with the action of the Word in the Incarnation. In the present passage Gr. is referring to Christ's institution of the Eucharist, when He consecrated bread and wine to the purposes of the Sacrament. It is in virtue of that original consecration by Christ that each succeeding particular consecration is effected. Cp. Ambrose *de Myst.* ix §§ 52, 54; Chrys. *de Prod. Judae hom.* i 6 (ed. Montf. ii 384); Jo. Damasc. *F. O.* iv 13. Cp. also Justin Martyr's reference (*Apol.* i 66) to τὴν δι' εὐχῆς λόγου τοῦ παρ' αὐτοῦ εὐχαριστηθεῖσαν τροφήν. See Scudamore *Notit. Eucharist.* (2nd ed.) pp. 572 sq.

4. τῇ δυνάμει] Cp. *supra* ταῦτα βλέπων δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει (note). In that passage bread is said to be 'virtually' the body, because it was capable of being converted into it. Here Christ's Body is spoken of as virtually bread, because bread had been converted into it.

5. ἐπισκηνώσει] '*indwelling.*' Σκην. Jn i 14.

6. ὅθεν] i.e. through the indwelling or operation of the Logos.

11. καθώς φησιν] The words are similarly applied to the Eucharist by Origen *Comm. in Matt.* tom. xi (Migne p. 948). On their application in this sense see Scudamore *l.c.* p. 578. In ἐντεύξεως there is a reference to the prayer of consecration.

ἁγιάζεται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως, οὐ διὰ βρώσεως προιὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου μεταποιούμενος, καθὼς εἴρηται

1 βρωσεως]+και ποσεως l vulg || 2 om γενεσθαι vulg || 3 om δια l vulg

1. οὐ διὰ βρώσεως] Gr. is thinking of the analogy of the Lord's earthly life. Then bread and wine became His Body and Blood mediately through the natural processes of eating and drinking. Now they become such immediately (εὐθύς) through the power of the Word and by means of the prayer of consecration.

2–3. εὐθὺς...μεταποιούμενος] Cp. *infra* τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν. Gr.'s language in these passages has been generally regarded as teaching a doctrine of the transformation of the elements, resembling in idea, though not in form, the later Western doctrine of transubstantiation. His language is interpreted in this sense by Fronto Ducaeus, and in more modern times by Franzelin *de SS. Euch. Sacr.* p. 232 f., Hilt *Des hl. Greg. von Nyssa Lehre vom Menschen* pp. 207 f., and Schwane *Dogmengesch.* (2° Aufl.) ii p. 780 f. Neander (*Ch. Hist.* iv p. 438, Bohn) thinks that some such view underlies the present chapter, but he qualifies it by reference to Gr.'s language in *in Baptismum Christi* p. 581 (Migne), where Gr. compares the effects of consecration in the case of the baptismal water, the anointing oil, ordination, and the bread and wine, as though they were changes of the same class. Pusey *Real Presence from the Fathers* pp. 180 ff., by an examination of the terms employed by Gr., contests the view that any transubstantiation is implied. His argument is conclusive so far as the terms go, but he scarcely does justice to Gr.'s treatment as a whole. For a discussion of the whole question see *Introd.* pp. xxxvi foll. In the present passage no argument can be drawn from the word μεταποιούμενον alone. The crucial point of the passage is the statement that bread and wine become actually and immediately (in contrast with διὰ βρώσεως κ.τ.λ.) the Body and Blood of the Lord in the Eucharist. Gr.'s language certainly implies much more than a change of use, such as takes place in the water of baptism. The illustration which he employs points to a change of properties or qualities due to the new relation into which the elements of bread and wine have been brought. It suggests, however, a change of 'form' only, not a change of 'substance.' See notes *supra* on ἀλλοιωτικῆς and εἶδος, and on μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν *infra*. Hence Harnack *Hist. of Dogma* (Eng. tr.) iv p. 296 rightly says that Gr. teaches 'a qualitative unity' between the bread and the Body of Christ, rather than a complete identity, such as is stated by John of Damascus *F. O.* iv 13.

3. καθὼς εἴρ.] Mk xiv 22 [Mt. xxvi 26; Lk. xxii. 19]. The change of the elements, following upon the act of consecration, depends upon the original institution of Christ, and the promise implied in the words τοῦτό ἐστι τὸ σῶμά μου. Franzelin (*de SS. Euch. Sacr.* p. 76) sees in Gr.'s reference to these words a proof that he regarded the consecration as effected by the recital of the words of institution. But such a deduction is not justified, as Gr. merely quotes the words to show that the bread is Christ's Body.

ὑπὸ τοῦ λόγου ὅτι Τοῦτό ἐστι τὸ σῶμά μου. πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης· οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες ἐν τῷ ζῆν διαμένοι· ὥσπερ διὰ τῆς στερρᾶς τε καὶ ἀντιτύπου τροφῆς τὸ στερρὸν τοῦ σώματος ὑποστηρίζομεν, τὸν αὐτὸν τρόπον καὶ τῷ ὑγρῷ τὴν προσθήκην ἐκ τῆς ὁμογενοῦς ποιούμεθα φύσεως, ὅπερ ἐν ἡμῖν γενόμενον διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. ἐπεὶ οὖν καὶ τοῦτο τὸ μέρος ἡ θεοδόχος ἐκείνη σὰρξ πρὸς τὴν σύστασιν ἑαυτῆς παρεδέξατο, ὁ δὲ φανερωθεὶς θεὸς διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς

3 προς το ζην euth 7 || 4 ωσπερ]+γαρ g^1 || om τε l vulg || 5 om τροπον e || 6 τω υγρω] το υδωρ dg*np || 8 γε] δε f || om ει p || 10 om το l vulg || εκεινου vulg || 11 θεος] λογος l* vulg || 12 επικηρω]+των ανθρωπων l vulg

2. διὰ τ. ὑγροῦ] For the need of τὸ ὑγρόν in nutrition cp. Arist. *de Gen. Anim.* iii 2. 753^b 25 δεῖ γὰρ τὴν τροφὴν σωματώδη οὖσαν ὑγρὰν εἶναι καθάπερ τοῖς φυτοῖς. The clause οὐ γὰρ ἂν δίχα...διαμένοι is a parenthesis. The main clause is resumed with ὥσπερ κ.τ.λ., and completed in the sentence beginning τὸν αὐτὸν τρόπον.

4. ἀντιτύπου] '*solid*,' '*firm*.' Cp. ἀντιτυπίας, c. 23.

7. ἀλλ. δυν.] Cp. *supra* p. 146 note.

8. ἐξαιματοῦται] '*is changed into blood*.' The word is similarly used in Arist. *de Somn. et Vigil.* c. 3.

9. δύναμιν] '*the power of being changed into heat*.' The addition of wine enables the water to become heat in the body.

10. τοῦτο τὸ μέρος] '*this part also*,' i.e. wine for the nourishment of the blood.

12. τῇ ἐπικήρῳ φ.] Cp. c. 1 ἡ ἡμετέρα φύσις ἐπίκηρος οὖσα.

ib. ἵνα...συναποθεωθῇ] Cp. *supra* τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς τὴν θεικὴν ἀξίαν μετεποιήθη. According to Gr. the object of the Incarnation was to effect the θέωσις of humanity. This was effected in the case of the Lord's human nature by the indwelling of the Word. It is continuously being effected in mankind as a whole by the dissemination (ἐνσπείρει) in believers of that Body which was exalted to Divine dignity. The Eucharist is the 'extension' of the process of the Incarnation. For the idea compare the language of Hilary *de Trin.* viii 13 Si enim vere Verbum caro factum est, et vere nos Verbum carnem cibo dominico sumimus; quomodo non naturaliter manere in nobis existimandus est, qui et naturam carnis nostrae iam inseparabilem sibi homo natus assumpsit, et naturam carnis suae ad naturam aeternitatis sub sacramento nobis communicandae carnis admiscuit? See further *ibid.* § 14.

θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον, τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστί, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

1 συναποθεωρηθη l^{*vid} vulg || 3 ης] οις vulg || 5 om ο vulg || 6 γενηται f euth 7 || 8 φυσιν] desinit euth

3. ἐνσπείρει] '*sows or plants Himself in*,' as a seed or principle of life.

ib. διὰ τῆς σαρκός] '*by means of that Flesh, composed of wine and bread.*' The Paris edd. read οἷς, thus introducing a fresh and irrelevant thought.

5. ὁ ἄνθρ.] 'man,' corresponding to τὸ ἀνθρώπινον above.

7. τῆς εὐλογίας] i.e. the prayer of consecration, the μυστικὴ εὐχή, on which see Suicer *sub vocc.* Εὐχή, Σύναξις. The use of the word in this connexion is derived from Mk xiv 22; Mt. xxvi 26; 1 Cor. x 16. On its relation to the word εὐχαριστία compare with the passages just cited Mk xiv 23; Mt. xxvi 27; Lk. xxii 19; 1 Cor. xi 24, and see Scudamore *l.c.* p. 573 sq. From its use in this sense εὐλογία came to denote the elements, whether before or after consecration. See Brightman *Liturgies E. and W.*, Index.

ib. μεταστοιχειώσας] '*transforming the nature of the visible objects to that thing.*' Ἐκεῖνο refers to τὸ ἀθάνατον i.e. the Lord's Body. Μεταστοιχειοῦν is used by Philo *de Somniis* p. 674 (Mangey) of the change of earth into water by Xerxes; also in *de Migr. Abrah.* i 449 (Mangey) of the change of rods into serpents. But more usually it appears to be used not so much of the substitution of one element for another, as of the rearrangement of the same elements, and the imposition upon them of a new form. Cp. the similar words ἀναστοιχειώσει c. 8 (note), and ἀναστοιχείωσιν c. 35. Gr. uses the word elsewhere: (1) of the change of the body after the Resurrection. Cp. *Hom. i in Cant.* p. 777 (Migne) τὸ μὲν σῶμα μεταστοιχειωθὲν πρὸς τὸ ἄφθαρτον, (2) of the Lord's Body being made impassible after the Resurrection. Cp. *de Vit. Moysis* p. 336 (Migne) τὸ τρεπτόν τε καὶ ἐμπαθὲς εἰς ἀπάθειαν μετεστοιχείωσεν. But he also uses it in a much more general sense of moral and spiritual changes. Cp. *Ep. ad Eustathiam* p. 1021 (Migne) ὁ οὖν τὴν φύσιν ἡμῶν πρὸς τὴν θείαν δύναμιν μεταστοιχειώσας, and *Ep. Can. ad Letoium* p. 22 (Migne) τοὺς ἐκ παλιγγενεσίας μεταστοιχειουμένους. For further reff. to the patristic use of the word see Pusey *Real Presence* pp. 198 ff. Thus the word does not alter the conclusion already drawn that Gr. indicates in this chapter a change of 'form' rather than a change of 'substance.' For the latter idea see Hilt *op. cit.* p. 208. For φύσις see notes *supra* on εἶδος and on the words πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης.

38. *Οὐδὲν οἶμαι τοῖς εἰρημένοις ἐνδεῖν τῶν περὶ τὸ μυστήριον ζητουμένων, πλὴν τοῦ κατὰ τὴν πίστιν λόγου, ὃν δι' ὀλίγου μὲν καὶ ἐπὶ τῆς παρούσης ἐκθησόμεθα πραγματείας. τοῖς δὲ τὸν τελεώτερον ἐπιζητοῦσι λόγον ἤδη προεξεθέμεθα ἐν ἑτέροις πόνοις, διὰ τῆς δυνατῆς ἡμῖν σπουδῆς ἐν ἀκριβείᾳ τὸν λόγον ἁπλώσαντες, ἐν οἷς πρός τε τοὺς ἐναντίους ἀγωνιστικῶς συνεπλάκημεν καὶ καθ' ἑαυτοὺς περὶ τῶν προσφερομένων ἡμῖν ζητημάτων ἐπεσκεψάμεθα. τῷ δὲ παρόντι λόγῳ τοσοῦτον εἰπεῖν περὶ τῆς πίστεως καλῶς ἔχειν ᾠήθημεν ὅσον ἡ τοῦ εὐαγγελίου περιέχει φωνή, τὸ τὸν γεννώμενον κατὰ τὴν πνευματικὴν ἀναγέννησιν εἰδέναι παρὰ τίνος γεννᾶται καὶ ποῖον γίνεται*

38. 1 του μυστηριου l vulg ‖ 4 τελειωτερον f τελειοτερον l vulg ‖ 5 πονοις] λογοις d ‖ ημων de ‖ 8 προφερομενων g^1 ‖ 11 και τον γενν. vulg

iii. Chaps. XXXVIII—XL. On Faith and Repentance.

38. *Our remaining task is to speak of the importance of faith. This has been dealt with more fully in other treatises. Here it suffices to show the importance for him who is regenerate of a right knowledge of the Author of his new birth, and of the nature of the life into which he is admitted.*

The three remaining chapters of the treatise are intended to deal with the moral conditions required for a right use of Sacraments. Gr. refers only to Baptism, because that is the initiation of the new life, and the moral conditions of which he speaks begin with Baptism. Moreover this is a 'catechetical oration' designed to help in the preparation of candidates for baptism. Hence there is no need to assume, as has been done by Aubertin *de Sacr. Euch.* ii 487 (quoted by Rupp p. 147), that c. 40 is an interpolation, because it returns to the discussion of Baptism.

1. *τὸ μυστ.*] here, as elsewhere, means the Christian religion.

4. *πραγματείας*] Cp. note c. 6 p. 33.

5. *ἑτέροις πόνοις*] Gr.'s larger work, *contra Eunomium*, and also the *de Deitate Filii et Spiritus Sancti*, both written before this time, deal with this question. See *Introd.* p. xiv.

ib. διὰ τῆς δ. ἡ. σπουδῆς] '*unfolding the subject with as great pains as lay in our power.*'

6. *πρός τε τ. ἐν.*] The purpose of these works was twofold (1) controversial, (2) critical and constructive. Gr. claims not only to have replied to opponents, but to have given an independent (*καθ' ἑαυτούς*) consideration of the questions involved.

10. *ὅσον*] Gr. is prob. thinking of such passages as Jn i 13, iii 6, 7, the latter of which he quotes in c. 39. The clause *τὸ τὸν γενν.... ζῷον* is in apposition to *τοσοῦτον*, viz. 'that he who is begotten with the spiritual generation knows' etc.

ζῷον· μόνον γὰρ τοῦτο τὸ τῆς γεννήσεως εἶδος κατ' ἐξουσίαν ἔχει, ὅ τι περ ἂν ἕληται, τοῦτο γενέσθαι.

39. Τὰ μὲν γὰρ λοιπὰ τῶν τικτομένων τῇ ὁρμῇ τῶν ἀπογεννώντων ὑφίσταται, ὁ δὲ πνευματικὸς τόκος τῆς ἐξουσίας ἥρτηται τοῦ τικτομένου. ἐπειδὴ τοίνυν ἐν τούτῳ ἐστὶν ὁ κίνδυνος, ἐν τῷ μὴ διαμαρτεῖν τοῦ συμφέροντος, κατ' ἐξουσίαν προκειμένης παντὶ τῆς αἱρέσεως, καλῶς ἔχειν φημὶ τὸν πρὸς τὴν γέννησιν τὴν ἰδίαν ὁρμῶντα προδιαγνῶναι τῷ λογισμῷ, τίς αὐτῷ λυσιτελήσει πατὴρ καὶ ἐκ τίνος ἄμεινον αὐτῷ συστῆναι τὴν φύσιν· εἴρηται γὰρ ὅτι κατ' ἐξουσίαν τοὺς γεννήτορας ὁ τοιοῦτος αἱρεῖται τόκος. διχῇ τοίνυν τῶν ὄντων μεμερισμένων εἰς τὸ κτιστὸν

1 τουτο...το ειδος l vulg τουτο...ειδος f **39.** 4 αυτο γεννωντων dp αυτα γενν. ehn || om τοκος vulg || 8 γενεσιν ehnp || 10 om και f || αυτω αμεινον e αυτου αμ. vulg || 11 του γεννητορος f

1. μόνον γάρ] '*for this form of generation alone has it in its power to become whatsoever it chooses.*' By γενν. εἶδος Gr. of course means more exactly the person who is regenerated. Cp. *infra* c. 39 ὁ δὲ πνευματικὸς τόκος τῆς ἐξουσίας ἥρτηται τοῦ τικτομένου. For the special form of expression cp. *ibid.* κατ' ἐξουσίαν τοὺς γεννήτορας αἱρεῖται ὁ τόκος. Gr.'s statement is not of course exact. A man cannot really choose to be born again of a created Son and Spirit. But as the moral condition of the recipient affects the value of baptism, his imperfect faith may deprive him of the full benefits of the rite. Gr. is here asserting the moral value of a right faith. See *Introd.* pp. xxxv fol.

39. *The spiritual birth, unlike natural birth, depends upon the will of him who is being born. It is important that such an one should know what kind of parent he needs for the development of his nature, seeing that it is in his power to choose his parents. It is possible for him to be the child of a nature which is uncreated and so unchanging, or of a nature which is created and subject to change. The Gospel sets before us a Trinity of Persons by Whom regeneration is effected. To believe that the Holy Trinity belongs to the uncreated world is to enter upon a stedfast, unchangeable life. To believe in a created Son and Spirit is to trust to an imperfect nature, which itself needs redemption. This is to be born, not from above, but from below.*

3–4. τ. ὁρμῇ...ὑφ.] '*attain existence by the impulse of,*' i.e. as contrasted with τῆς ἐξουσίας ἥρτηται τοῦ τικτομένου, which follows.

6. ὁ κίνδυνος] The fact that the spiritual birth depends upon the will of him who is born involves the danger of his failing to choose that which is advantageous to him.

12. διχῇ τοίνυν] Gr. now explains the nature of the choice which he has indicated as belonging to the catechumen. It is the choice between a spiritual birth into an

καὶ τὸ ἄκτιστον, καὶ τῆς μὲν ἀκτίστου φύσεως τὸ ἄτρεπτόν τε καὶ ἀμετάθετον ἐν ἑαυτῇ κεκτημένης, τῆς δὲ κτίσεως πρὸς τροπὴν ἀλλοιουμένης, ὁ κατὰ λογισμὸν τὸ λυσιτελοῦν προαιρούμενος τίνος αἱρήσεται μᾶλλον γενέσθαι τέκνον, τῆς ἐν τροπῇ θεωρουμένης ἢ τῆς ἀμετάστατόν τε καὶ παγίαν καὶ ἀεὶ ὡσαύτως ἔχουσαν ἐν τῷ ἀγαθῷ κεκτημένης τὴν φύσιν; ἐπεὶ οὖν ἐν τῷ εὐαγγελίῳ τὰ τρία παραδέδοται πρόσωπά τε καὶ ὀνόματα δι' ὧν ἡ γέννησις τοῖς πιστεύουσι γίνεται, γεννᾶται δὲ κατὰ τὸ ἴσον ὁ ἐν τῇ τριάδι γεννώμενος παρὰ πατρός τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου· οὕτω γάρ φησι περὶ τοῦ πνεύματος τὸ εὐαγγέλιον ὅτι Τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι, καὶ ὁ Παῦλος ἐν Χριστῷ γεννᾷ, καὶ Ὁ πατὴρ πάντων ἐστὶ πατήρ· ἐνταῦθά μοι νηφέτω τοῦ ἀκροατοῦ ἡ διάνοια,

8 γενεσις deghnp ‖ 9 om τη df ‖ 10 παρα τε πατρος και υιου d του πατρος egp vulg του υιου...του πνευματος vulg ‖ 11 om το vulg

eternal and uncreated nature or into a nature which is created and subject to change.

1. τὸ ἄτρεπτον] For the unchangeableness of the Divine Nature cp. Mal. iii 6, where the LXX has οὐκ ἠλλοίωμαι: and for a discussion of the word ἄτρεπτος see W. R. Churton *Theological Papers* pp. 22 ff. For Greek thought cp. Plato *Rep.* ii 381 c ἀδύνατον ἄρα, ἔφην, καὶ θεῷ ἐθέλειν αὐτὸν ἀλλοιοῦν: Arist. *de Caelo* (p. 279 a) πολλάκις προφαίνεται τοῖς λόγοις ὅτι τὸ θεῖον ἀμετάβλητον ἀναγκαῖον εἶναι πᾶν τὸ πρῶτον καὶ ἀκρότατον. Cp. Philo *de Nom. Mut.* (p. 582, ed. Mangey) ἄτρεπτον γὰρ καὶ ἀμετάβλητον, χρῄζον ἑτέρου τὸ παράπαν οὐδενός.

3. πρὸς τροπὴν ἀλλ.] '*subject to alteration and change*,' lit. 'in the direction of change.' Cp. c. 21 ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος ἀλλοίωσίς τίς ἐστι.

5. ἐν τρ. θεωρ.] For this use of θεωρεῖσθαι cp. *prol.* ἐν τοῖς αὐτοῖς θεωρουμένων.

7. ἐπεὶ οὖν] The sentence is finally resumed in the words ἐνταῦθά μοι κ.τ.λ. Ἐν τ. εὐ.] i.e. Mt. xxviii 19.

8. πρόσωπα] On the history of this word see Bethune-Baker *Texts and Studies* vii 1 pp. 72 ff. Ὀνόματα seems to refer to the words εἰς τὸ ὄνομα in Mt. xxviii 19. The phrase ἐν τῇ τρ. γεννώμενος is probably due to the influence of the passage 1 Cor. iv 15 which Gr. subsequently quotes.

11. οὕτω γάρ] Gr. gives three quotations to prove his contention that the grace of baptism proceeds equally from all three Persons of the Trinity.

ib. τὸ εὐαγγ.] Jn iii 6.

13. ὁ Παῦλος] 1 Cor. iv 15.

ib. Ὁ πατήρ] The source of this third quotation is possibly Eph. iv 6, where the words εἷς θεὸς καὶ πατὴρ πάντων follow immediately upon the mention of the ἓν βάπτισμα.

14. νηφέτω] used here, as often in the N.T., of 'a mental state free from all perturbations or stupefactions' (Hort on 1 Pet. i 13).

μὴ τῆς ἀστατούσης φύσεως ἑαυτὴν ἔκγονον ποιήσῃ, ἐξὸν τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ἀρχηγὸν ποιήσασθαι τῆς ἰδίας ζωῆς. κατὰ γὰρ τὴν διάθεσιν τῆς καρδίας τοῦ προσιόντος τῇ οἰκονομίᾳ καὶ τὸ γινόμενον τὴν δύναμιν ἔχει, ὥστε τὸν μὲν ἄκτιστον ὁμολογοῦντα τὴν ἁγίαν τριάδα εἰς τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον εἰσελθεῖν ζωήν, τὸν δὲ τὴν κτιστὴν φύσιν ἐν τῇ τριάδι διὰ τῆς ἠπατημένης ὑπολήψεως βλέποντα, ἔπειτα ἐν αὐτῇ βαπτιζόμενον, πάλιν τῷ τρεπτῷ τε καὶ ἀλλοιουμένῳ ἐγγεννηθῆναι βίῳ· τῇ γὰρ τῶν γεννώντων φύσει κατ' ἀνάγκην ὁμογενές ἐστι καὶ τὸ τικτόμενον. τί οὖν ἂν εἴη λυσιτελέστερον, εἰς τὴν ἄτρεπτον ζωὴν εἰσελθεῖν ἢ πάλιν τῷ ἀστατοῦντι καὶ ἀλλοιουμένῳ ἐγκυματοῦσθαι βίῳ; ἐπεὶ οὖν παντὶ δῆλόν ἐστι τῷ καὶ ὁπωσοῦν διανοίας μετέχοντι, ὅτι τὸ ἑστὼς τοῦ μὴ ἑστῶτος παρὰ πολὺ τιμιώτερον, καὶ τοῦ ἐλλιποῦς τὸ τέλειον, καὶ τοῦ δεομένου τὸ μὴ δεόμενον, καὶ τοῦ διὰ προκοπῆς ἀνιόντος τὸ μὴ ἔχον εἰς ὅ τι προέλθῃ, ἀλλ' ἐπὶ τῆς τελειότητος τοῦ ἀγαθοῦ μένον ἀεί, ἐπάναγκες ἂν εἴη

1 εαυτον eh || 2 την] τον f || 3 om ζωης vulg || 6 τον δε την] την δε vulg || 9–12 εγγεννηθηναι...αλλοιουμενω om l || 16 του μη δεομενου το δ. d*ehn || 17 προκ. αν.] τροπης ανιεντος f || 18 επαναγκες αν ειη] om d om αν ειη l*

2. ἀρχηγόν] Cp. *antea* c. 33 ζωῆς ἀρχηγός (note).

3. τ. διάθ. τ. καρδ.] may possibly contain a reference to Ps. lxxii (lxxiii) 7 (LXX).

4. οἰκονομίᾳ] Cp. c. 34 τῆς μυστικῆς ταύτης οἰκονομίας.

ib. τὸ γινόμενον] '*that which takes place*' i.e. the birth which results from Baptism. Two of the MSS used by Fronto Ducaeus read τὸ γεννώμενον.

6. τὸν δὲ τ. κτιστήν] sc. the Anomœan, to whose teaching he refers more fully below in the clause beginning ἤ, εἰ ἔξω τῆς τοῦ πρώτου κ.τ.λ. Τήν is used in a generic sense.

9. ἐγγεννηθῆναι] '*is again born into an existence which is subject to variation and change.*' Gr. will not call such a life ζωή. It is merely βίος, 'existence.' Cp. c. 8 τὸ τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι.

12–13. πάλιν...ἐγκυμ.] The new birth into a created Son and Spirit carries a man no higher than he was before. It still leaves him in an existence which is unstable. Ἐγκυματ. '*to be tossed about in.*'

16. διὰ προκοπῆς] '*by a gradual advance.*' So Athanasius *de Syn.* 4 represents Paul of Samosata as teaching concerning Christ ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τεθεοποιῆσθαι.

18. ἐπὶ τ. τ....μένον] Cp. c. 37 μένειν ἐφ' ἑαυτοῦ (note).

ἓν ἐξ ἀμφοτέρων αἱρεῖσθαι πάντως τόν γε νοῦν ἔχοντα, ἢ τῆς ἀκτίστου φύσεως εἶναι πιστεύειν τὴν ἁγίαν τριάδα καὶ οὕτως ἀρχηγὸν διὰ τῆς πνευματικῆς γεννήσεως ποιεῖσθαι τῆς ἰδίας ζωῆς, ἤ, εἰ ἔξω τῆς τοῦ πρώτου καὶ ἀληθινοῦ καὶ ἀγαθοῦ θεοῦ φύσεως, τῆς τοῦ πατρὸς λέγω, νομίζοι εἶναι τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον, μὴ συμπαραλαμβάνειν τὴν εἰς ταῦτα πίστιν ἐν τῷ καιρῷ τῆς γεννήσεως, μήποτε λάθῃ τῇ ἐλλιπεῖ φύσει καὶ δεομένῃ τοῦ ἀγαθύνοντος ἑαυτὸν εἰσποιῶν καὶ τρόπον τινὰ πάλιν εἰς τὸ ὁμογενὲς ἑαυτὸν εἰσαγάγῃ, τῆς ὑπερεχούσης φύσεως ἀποστήσας τὴν πίστιν. ὁ γάρ τινι τῶν κτιστῶν ἑαυτὸν ὑποζεύξας λέληθεν εἰς αὐτὸ καὶ οὐκ εἰς τὸ θεῖον τὴν

1 om παντως hn vulg ‖ 2 πιστευειν ειναι l ‖ 3 αρχ. ποιεισθαι δια τ. πν. γ. fl ‖ γενεσεως deghnp vulg ‖ 4 om ει fl ‖ 6 λεγων h ‖ 7 συμπεριλαμβανειν f συμπαραλαμβανων vulg ‖ ταυτα] ταυτην την l*vid ‖ φυσιν ητοι πιστιν f ‖ 8 γενεσεως deghnp vulg ‖ 9 αγαθυναντος f αγαθου οντος (οντως d) gp ‖ om και p ‖ 10 εισαγη f ‖ 12 εις αυτο] om εις deghnp vulg εαυτον defghlnp vulg: txt e conject Krab restitui ‖ om και ehn vulg om ουκ h

4. πρώτου] For a summary of Eunomius' teaching see *c. Eunom. Or.* i pp. 297, 324 (Migne). In the latter passage Gr. speaks of Eunomius' definitions περὶ τῆς πρώτης τε καὶ δευτέρας καὶ τρίτης οὐσίας.

6. μὴ συμπ.] dependent like πιστεύειν and ποιεῖσθαι upon αἱρεῖσθαι. '*Not to include the belief in these Persons in the faith which he adopts at the time of his birth.*' Gr. argues that, in order to be consistent, the Anomœans should not include the Son and the Holy Spirit in their baptismal confession. For on their own principles baptism into the Son and the Spirit involves birth into a created life of the same kind (ὁμογενές) as their own. For the use of the neuter ταῦτα cp. Greg. Naz. *Or.* xxxi 5 οἱ τρία μὲν εἶναι καθ' ἡμᾶς ὁμολογοῦσι τὰ νοούμενα with Dr Mason's note.

8. ἐλλιπεῖ] i.e. imperfect, because belonging to the created order. Cp. the argument in *prol.*, where Gr. adduces the perfection of the Divine Nature as an argument for the unity of God.

9. ἀγαθύνοντος] '*someone to make it good.*' Ἀγαθύνειν, 'to make good' or 'do good to,' occurs frequently in the LXX. Cp. 3 Reg. i 47; Pss. l (li) 20, cxxiv (cxxv) 4; Jer. li (xliv) 27.

ib. εἰσποιῶν] '*cause himself to be adopted into.*' The exact phrase εἰσποιεῖν τινά τινι occurs in Plato *Legg.* ix 878.

11. ἀποστήσας τ. π.] '*withdrawing his faith from the transcendent nature,*' i.e. by resting it in a created Son and Spirit who are, according to the Anomœan view, external to the Supreme Being.

12. λέληθεν κ.τ.λ.] The MSS are here corrupt. Krabinger's conjecture εἰς αὐτὸ for ἑαυτὸν or εἰς ἑαυτὸν has been adopted, as it explains the corruption and supplies the necessary sense. Αὐτό=τὸ κτιστόν referred to in τινὶ τῶν κτιστῶν.

ἐλπίδα τῆς σωτηρίας ἔχων. πᾶσα γὰρ ἡ κτίσις τῷ κατὰ τὸ ἴσον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προήκειν οἰκείως πρὸς ἑαυτὴν ἔχει· καὶ ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων κατασκευῆς πάντα τὰ μέλη πρὸς ἑαυτὰ συμφυῶς ἔχει, κἂν τὰ μὲν ὑποβεβηκότα, τὰ δὲ ὑπερανεστῶτα τύχῃ, οὕτως ἡ κτιστὴ φύσις ἥνωται πρὸς ἑαυτὴν κατὰ τὸν λόγον τῆς κτίσεως καὶ οὐδὲν ἡ κατὰ τὸ ὑπερέχον καὶ ἐνδέον ἐν ἡμῖν διαφορὰ διίστησιν αὐτὴν τῆς πρὸς ἑαυτὴν συμφυίας· ὧν γὰρ ἐπ' ἴσης προεπινοεῖται ἡ ἀνυπαρξία, κἂν ἐν τοῖς ἄλλοις τὸ διάφορον ᾖ, οὐδεμίαν κατὰ τὸ μέρος τοῦτο τῆς φύσεως παραλλαγὴν ἐξευρίσκομεν. εἰ οὖν κτιστὸς μὲν ὁ ἄνθρωπος, κτιστὸν δὲ καὶ τὸ πνεῦμα καὶ τὸν μονογενῆ θεὸν εἶναι νομίζοι, μάταιος ἂν εἴη ἐν ἐλπίδι τῆς ἐπὶ τὸ κρεῖττον μεταστάσεως, πρὸς ἑαυτὸν ἀναλύων. ὅμοιον γὰρ ταῖς τοῦ Νικοδήμου ὑπολήψεσίν ἐστι τὸ γινόμενον, ὃς περὶ τοῦ δεῖν ἄνωθεν γεννηθῆναι παρὰ τοῦ κυρίου μαθὼν διὰ τὸ μήπω χωρῆσαι τοῦ μυστηρίου τὸν λόγον ἐπὶ τὸν

1 τω] το efh ‖ 2 προσηκειν f ‖ 5 υπερανεστηκοτα fg^1 ‖ 9 επινοειται f ‖ 11 κτιστος μεν] + ων vulg ‖ 13 θεον] υιον l ‖ om ειναι l ‖ επ ελπιδι l ανελπιδι vulg

1. τῷ...προήκειν] The *dat.* is causal, '*because it proceeds in an equal degree from non-existence into existence.*'

3. τ. τ. σ. κατασκευῆς] Cp. c. 28 πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει. For συμφυῶς cp. c. 32 συμφυής and *ibid.* συμφυομένων.

5. ὑποβεβ. ... ὑπεραν.] i.e. the 'lower' and 'upper' parts of the body.

7. καὶ οὐδέν] '*and the difference between what is superior and inferior in us makes no division in the cohesion of all its parts.*'

9. ὧν γάρ] '*for if things alike are thought of as coming out of a previous nothingness.*'

11. παραλλαγήν] '*variation.*' Cp. James i 17 (Mayor's note).

ib. κτιστὸς μὲν...κτιστὸν δέ] The two clauses are logically correlative. With the former ἐστιν must be supplied.

12. μονογενῆ θεόν] Cp. *prol.* p. 2 (note).

13. τ. ἐπὶ τ. κ. μεταστάσεως] Cp. c. 40 ἐπὶ ἀνακαινισμῷ καὶ μεταβολῇ τῆς φύσεως ἡμῶν τὴν σωτήριον παραλαμβάνεσθαι γέννησιν.

14. πρὸς ἑαυτὸν ἀναλύων] '*seeing that he returns to himself,*' i.e. to one who is like himself a created being, and cannot bring him to perfection. For this sense of ἀναλύειν cp. c. 23 τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν, and c. 35 ἀναλύειν.

15. τ. Νικοδήμου] Jn iii 4.

ib. τὸ γιν.] i.e. that which happens when a man is baptized into that faith.

17. τοῦ μυστ.] used here of the revelation made by Christ about the new birth.

μητρῷον κόλπον τοῖς λογισμοῖς κατεσύρετο. ὥστε εἰ μὴ πρὸς τὴν ἄκτιστον φύσιν, ἀλλὰ πρὸς τὴν συγγενῆ καὶ ὁμόδουλον κτίσιν ἑαυτὸν ἀπάγοι, τῆς κάτωθεν, οὐ τῆς ἄνωθέν ἐστι γεννήσεως. φησὶ δὲ τὸ εὐαγγέλιον ἄνωθεν εἶναι τῶν σωζομένων τὴν γέννησιν.

40. Ἀλλ' οὔ μοι δοκεῖ μέχρι τῶν εἰρημένων αὐτάρκη τὴν διδασκαλίαν ἡ κατήχησις ἔχειν. δεῖ γάρ, οἶμαι, καὶ τὸ μετὰ τοῦτο σκοπεῖν, ὃ πολλοὶ τῶν προσιόντων τῇ τοῦ βαπτίσματος χάριτι παρορῶσι, δι' ἀπάτης ἑαυτοὺς παράγοντες, καὶ τῷ δοκεῖν μόνον, οὐχὶ τῷ ὄντι γεννώμενοι. ἡ γὰρ διὰ τῆς ἀναγεννήσεως γινομένη τῆς ζωῆς ἡμῶν μεταποίησις οὐκ ἂν εἴη μεταποίησις, εἰ ἐν ᾧ ἐσμεν διαμένοιμεν. τὸν γὰρ ἐν τοῖς αὐτοῖς ὄντα οὐκ οἶδα πῶς ἔστιν ἄλλον τινὰ γεγενῆσθαι νομίσαι, ἐφ' οὗ μηδὲν τῶν γνωρισμάτων μετεποιήθη. τὸ γὰρ ἐπὶ ἀνακαινισμῷ καὶ μεταβολῇ τῆς φύσεως ἡμῶν τὴν σωτήριον παραλαμβάνεσθαι γέννησιν παντὶ δῆλόν ἐστιν. ἀλλὰ μὴν ἡ ἀνθρωπότης αὐτὴ καθ'

2 om την ante ακτιστον vulg ‖ 3 επαγοι l* απαγαγοι $g^{11}l^{1}$ **40.** 7 εχει l ‖ 10 το δοκειν lnp του δ. h ‖ 15 τη μεταβολη e

1. κατεσύρετο] '*whose thoughts drew him back to.*'

2. ὁμόδουλον] '*which shares his own bondage.*' Cp. Rom. viii 21.

3. τῆς ἄνωθεν] Jn iii 3. The contrast with the preceding κάτωθεν is decisive as to Gr.'s interpretation of that passage.

40. *The regeneration which comes through Baptism only becomes effectual in those who exhibit a change of life and wholly abandon evil. Otherwise the water is but water, and the gift of the Holy Spirit in no wise appears in what takes place. God rewards godliness and punishes sin in ways that surpass anything of which we have experience in this life. This being so, it is our duty to lay the foundations of blessedness in this fleeting life and put away evil from us.*

6. μέχρι τ. εἰρ.] '*so far as our remarks have gone* (or '*with these remarks*') *our instruction does not seem to me to be complete in its teaching.*' On this inclusive sense of μέχρι see Greg. Naz. *Or.* xxviii 9 οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν (with Dr Mason's note). On κατήχησις see *prol.* ὁ τῆς κατηχήσεως λόγος (note).

9. δι' ἀπάτης] Cp. c. 7 δι' ἀπατῆς παρασυρέντες.

12. μεταποίησις] See note on μεταποιεῖ, c. 37.

14. γνωρισμάτων] '*characteristic features*,' i.e. the traits of character by which a man is recognized. Gr. has of course in view the bad traits of character. Cp. *infra* τῶν πονηρῶν γνωρισμάτων.

15. ἐπὶ ἀνακ.] For this use of ἐπί cp. c. 5 ἐπὶ τῇ...ἀπολαύσει.

17. ἡ ἀνθρωπότης] 'humanity in itself,' i.e. the abstract conception

ἑαυτὴν μεταβολὴν ἐκ τοῦ βαπτίσματος οὐ προσίεται, οὔτε τὸ λογικὸν οὔτε τὸ διανοητικὸν οὔτε τὸ ἐπιστήμης δεκτικὸν οὐδὲ ἄλλο τι τῶν χαρακτηριζόντων ἰδίως τὴν ἀνθρωπίνην φύσιν ἐν μεταποιήσει γίνεται. ἢ γὰρ ἂν πρὸς τὸ χεῖρον ἡ μεταποίησις εἴη, εἴ τι τούτων ὑπαμειφθείη τῶν ἰδίων τῆς φύσεως. εἰ οὖν ἡ ἄνωθεν γέννησις ἀναστοιχείωσίς τις τοῦ ἀνθρώπου γίνεται, ταῦτα δὲ τὴν μεταβολὴν οὐ προσίεται, σκεπτέον τίνος μεταποιηθέντος ἐντελὴς τῆς ἀναγεννήσεως ἡ χάρις ἐστί. δῆλον ὅτι τῶν πονηρῶν γνωρισμάτων ἐξαλειφθέντων τῆς φύσεως ἡμῶν ἡ πρὸς τὸ κρεῖττον μετάστασις γίνεται. οὐκοῦν εἰ, καθὼς φησιν ὁ προφήτης, λουσάμενοι τῷ μυστικῷ τούτῳ λουτρῷ καθαροὶ τὰς προαιρέσεις γενοίμεθα, τὰς πονηρίας τῶν ψυχῶν ἀποκλύσαντες, κρείττους γεγόναμεν καὶ πρὸς τὸ κρεῖττον μετεποιήθημεν. εἰ δὲ τὸ μὲν λουτρὸν ἐπαχθείη τῷ σώματι, ἡ δὲ ψυχὴ τὰς ἐμπαθεῖς κηλῖδας μὴ ἀπορρύψαιτο, ἀλλ' ὁ μετὰ τὴν μύησιν βίος συμβαίνοι τῷ ἀμυήτῳ βίῳ, κἂν τολμηρὸν εἰπεῖν ᾖ, λέξω καὶ οὐκ ἀποτραπήσομαι, ὅτι ἐπὶ τούτων τὸ ὕδωρ ὕδωρ ἐστίν, οὐδαμοῦ τῆς δωρεᾶς

3 ουδε] ουτε f || χαρακτηριζομενων ητοι των χαρακτηριζοντων f || 7 τις] τε vulg || 10 γνωρισματων] βουλευματων f || 13 γενωμεθα d γινομεθα f γινοιμεθα vulg || 15 το λουτρον μεν e vulg || 16 απορριψοιτο e vulg ἀπορυψοιτο f || 17 συμβαινει el vulg συμβαινη f

of man. Grace does not alter any of the essential properties of human nature.

2. *οὔτε τὸ λογ.*] For this description of man's faculties see c. 15 *sub fin.* and c. 33 (note).

6. *ἡ ἄν. γέν.*] Cp. c. 39 *sub fin.* (note).

ib. *ἀναστοιχείωσις*] Cp. c. 8 *ἀναστοιχειώσει* (note).

8. *ἐντελής*] Cp. *antea* c. 24 p. 93 (note).

11. *μετάστασις*] See note on *μεθισταμένης* c. 37.

12. *ὁ προφήτης*] Isaiah i 16 (LXX) *λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν.*

13. *καθαροὶ τ. π.*] '*clean in our wills.*'

15. *μετεποιήθημεν*] For this use of the aorist cp. *ἔσβεσαν* c. 37 p. 142 (note).

16. *ἐμπαθεῖς κηλ.*] '*the stains caused by its passions.*' For *ἐμπαθεῖς* cp. *ἐμπαθές* c. 5.

17. *μύησιν*] Cp. c. 35 *τῆς τοιαύτης μυήσεως.*

ib. *συμβαίνοι*] 'accord with,' 'be of the same character as.'

19. *ἐπὶ τούτων*] '*in their case the water is water, and the gift of the Holy Spirit is nowhere manifested in what takes place.*' The margin of *c* has *γεννωμένῳ*, which is a con-

